# Β'. ΕΠΙΤΑΦΙΟΣ

## Εἰς τὸν μέγαν Βασίλειον Ἐπίσκοπον Καισαρείας Καππαδοκίας.

§ 1. Ἔμελλεν ἄρα[2] πολλὰς ἡμῖν ὑποθέσεις τῶν λόγων ἀεὶ προτιθεὶς[3] ὁ μέγας Βασίλειος, (καὶ γὰρ ἐφιλοτιμεῖτο τοῖς ἐμοῖς λόγοις, ὡς οὔπω τοῖς ἑαυτοῦ τῶν πάντων οὐδείς[4]) ἑαυτὸν νῦν προθήσειν ὑπόθεσιν ἀγώνων μεγίστην τοῖς περὶ λόγους ἐσπουδακόσιν. Οἶμαι γάρ,[5] εἴτις τῆς ἐν λόγοις δυνάμεως πεῖραν ποιούμενος, ἔπειτα πρὸς μέτρον κρῖναι ταύτην θελήσειε, μίαν ἐκ πασῶν ὑπόθεσιν προστησάμενος, καθάπερ οἱ ζωγράφοι τοὺς ἀρχετύπους πίνακας, ταύτην ἂν ὑφελὼν μόνην, ὡς λόγου κρείττονα, τῶν ἄλλων ἑλέσθαι τὴν πρώτην. Τοσοῦτον ἔργον[6] ἡ τοῦ ἀνδρὸς εὐφημία! μὴ ὅτι γε ἡμῖν τοῖς πάλαι πᾶν τὸ φιλότιμον καταλύσασιν,[7] ἀλλὰ καὶ οἷς βίος ἐστὶν[8] ὁ λόγος, ἓν τοῦτο ἐσπουδακόσι[9] καὶ μόνον ταῖς τοιαύταις ἐνευδοκιμεῖν ὑποθέσεσιν. Ἔχω μὲν οὕτω[10] περὶ τούτων· Καί, ὡς ἐμαυτὸν πείθω, λίαν ὀρθῶς.

§ 2. Οὐκ οἶδα δὲ[2] εἰς ὅ,τι ἂν ἄλλο χρησαίμην τοῖς λόγοις, μὴ νῦν χρησάμενος· ἢ ὅ,τι ποτ' ἂν μᾶλλον ἢ ἐμαυτῷ χαρισαίμην, ἢ τοῖς ἀρετῆς ἐπαινέταις, ἢ τοῖς λόγοις αὐτοῖς, ἢ τὸν ἄνδρα[3]

---

§ 1. Ἔμελλεν ἄρα.) Κατὰ μίμησιν τοῦ Λουκιανοῦ τὸ προοίμιον ἐποιήσατο· ἐκεῖνος γὰρ ἐν τῷ Δημώνακτος βίῳ ὧδε προοιμιάζεται· Ἔμελλεν ἄρα μηδὲ ὁ καθ' ἡμᾶς βίος τοπαντάπασιν ἄμοιρος ἔσεσθαι ἀνδρῶν λόγου καὶ μνήμης ἀξίων· ὁ δέ τοι Ἄρα τοῦ, ὡς ἔοικεν, ἐστὶ σημαντικός· Ἔστι δὲ παθαινομένης καὶ ἀπολοφυρομένης διαθέσεως· οἷον ἀπέκειτο ἄρα καὶ τοῦτο· ὁ μέγας δηλαδὴ Βασίλειος, ὁ πολλὰς ὑποθέσεις λόγων ζῶν ὑποβαλλόμενός μοι, αὐτὸς καὶ νῦν τελευτήσας, ἑαυτὸν ἔμελλεν ὑπόθεσιν προθήσειν. — 3. Πολλὰς .... προτιθείς.) Πολλὰς δηλονότι ἡμῖν αἰτίας δούς, ὥστε λόγους συντιθέναι. — 4. Τῶν πάντων οὐδείς.) Ὡς οὐδεὶς ἄλλος δηλαδὴ μέχρι τοῦ νῦν ἐφιλοτιμήθη οὕτως ἐπὶ τοῖς ἰδίοις αὐτοῦ λόγοις· Καὶ ἔστιν ἄρα ἡ δοτικὴ κατ' ἔλλειψιν τῆς Ἐπὶ· τὸ δέ τοι, τῶν πάντων, Ἀττικισμὸς περιττός, ὑπερβολὴν ἐμφαίνων. — 5. Οἶμαι γάρ.) Δυσχερὲς ὂν τὸ χωρίον ὧδε ἂν παραφρασθείη. Εἴτις βουληθείη εἰδέναι, ὅση ἡ περὶ λόγους αὐτοῦ δύναμις, καὶ παραθεῖναι αὐτὴν μέτρῳ τινὶ θελήσειεν, ἐκλεξάμενος ἐξ ἁπασῶν μίαν ὑπόθεσιν εἰς παράδειγμα, καθάπερ ποιοῦσιν οἱ ζωγράφοι, τὰς πρωτοτύπους εἰκόνας εἰς παράδειγμα προτιθέντες, ὁ τοιοῦτος, οἴομαι, ὅτι, ἐὰν ἐξέλῃ ταύτην μόνην τὴν τοῦ μεγάλου Βασιλείου ὑπόθεσιν, ὡς ἀνωτέραν παντὸς λόγου, δύναται ἀπὸ τῶν ἄλλων ὑποθέσεων ἑλέσθαι, ἥτις ἂν ἡ δόξειεν αὐτῷ, ἢ γοῦν εἴη ἡ πρωτίστη. — 6. Τοσοῦτον ἔργον.) Οὕτω δηλαδὴ δυσχερὲς τὸ τοῦ ἀνδρὸς ἐγκώμιον γράψασθαι ἐπιχειρῆσαι. — 7. Τοῖς πάλαι ... καταλύσασιν.) Μετριοφρονῶν λέγει, ὅτι πρὸ πολλοῦ τὸ φιλοτίμως περὶ λόγους ἔχειν κατήργητο αὐτῷ. — 8 Καὶ οἷς βίος ἐστίν.) Ἀλλὰ καὶ ἐκείνοις ἐστὶ δυσχερὲς τοῦτο, ὅσοι πάντα κατατρίβουσι τὸν ἑαυτῶν βίον, λόγους συντιθέντες. — 9. Ἐσπουδακόσι.) Καὶ τούτου δηλ. μόνου φροντίζοντες· ἵν' εὐδοκιμῶσιν ἐν ταῖς τοιαύταις τῶν λόγων ὑποθέσεσι. — 10. Ἔχω μὲν οὕτω.) Τοιαύτην δηλαδή τινα γνώμην ἔχω περὶ τούτων, ὅτι δηλαδὴ δυσχερεστάτη ἡ τοῦ ἀνδρὸς εὐφημία.

§ 2. 2. Οὐκ οἶδα δέ.) Ὁ δὲ ἐναντιωματικός· κατὰ τὸ καθ' ἡμᾶς, Ὡς τόσον. — 3. Ἢ τὸν ἄνδρα.) Ὁ Ἢ συγκριτικὸς

τοῦτον θαυμάσας. Ἐμοί τε γὰρ ἔσται τοῦτο χρέος ἱκανῶς ἀφωσιωμένον·[4] χρέος δέ, εἴπερ ἄλλο τι[5] τοῖς ἀγαθοῖς τά τε ἄλλα καὶ περὶ τὸν λόγον, ὁ λόγος· ἐκείνοις θ'[6] ἅμα μὲν ἡδονὴ γένοιτο, καὶ ἅμα παράκλησις εἰς ἀρετὴν ὁ λόγος. Ὧν γὰρ[7] τοὺς ἐπαίνους οἶδα, τούτων σαφῶς καὶ τὰς ἐπιδόσεις· Ἐπ' οὐδενὸς οὖν τῶν ἁπάντων οὐκ ἔστιν, ἐφ' ὅτῳ οὐχὶ τῶν ἁπάντων. Τοῖς τε λόγοις αὐτοῖς ἀμφοτέρωθεν ἂν ἔχοι τὸ πρᾶγμα[8] καλῶς· εἰ μὲν ἐγγὺς ἔλθοιεν τῆς ἀξίας, τὴν ἑαυτῶν ἐπιδεδειγμένοις[9] δύναμιν· εἰ δὲ πλεῖστον ἀπολειφθεῖεν, ὃ πᾶσα παθεῖν ἀνάγκη[10] τοῖς ἐκεῖνον ἐγκωμιάζουσιν, ἔργῳ δεδηλωκόσι[11] τὴν ἧτταν· καὶ τὸ κρεῖττον ἢ κατὰ λόγου δύναμιν εἶναι τὸν εὐφημούμενον.

§ 3. Ἃ μὲν οὖν πεποίηκέ μοι τὸν λόγον,[2] καὶ δι' ἃ τὸν ἀγῶνα τοῦτο ἐνεστησάμην, ταῦτα ἐστίν.[3] Εἰ δὲ τοσοῦτον ἀπήντηκα τοῦ καιροῦ δεύτερος, καὶ μετὰ τοσούτους ἐπαινέτας,[4] ἰδίᾳ τε καὶ δημοσίᾳ τὰ ἐκείνου σεμνύναντες, μηδεὶς θαυμαζέτω. Ἀλλὰ συγγινωσκέτω μὲν ἡ θεία ψυχή, καὶ πάντ' ἐμοὶ σεβασμία, καὶ νῦν καὶ πρότερον. Πάντως δὲ[5] ὡς σὺν ἡμῖν ὢν ἐπανώρθου πολλὰ τῶν ἐμῶν, ὅρῳ τε φιλίας καὶ νόμῳ κρείττονι,[6] (οὐ γὰρ αἰσχύνομαι τοῦτο λέγειν, ὅτι καὶ πᾶσι νόμος ἦν ἀρετῆς) οὕτω καὶ ὑπὲρ ἡμᾶς γενόμενος,[7] συγγνώμων ἔσται τοῖς ὑμετέροις. Συγγινωσκέτωσαν δὲ καὶ ὑμῶν ὅσοι θερμότεροι τοῦ ἀνδρὸς ἐπαινέται, εἴπερ τίς ἐστιν[8] ἀλ-

---

πρὸς τὸ Μᾶλλον· οἷον· ἢ ὅτι ποτ' ἂν ἐμαυτῷ τε καὶ τοῖς ἐπαινέταις τῆς ἀρετῆς καὶ τοῖς λόγοις αὐτοῖς χαρισαίμην μᾶλλον, ἢ τὸν ἄνδρα τοῦτον θαυμάσας. — 4. Ἱκανῶς ἀφωσιωμένον.) Τοῦτο γὰρ ἔσται μοι ἱκανὴ ἀποπλήρωσις τοῦ πρὸς αὐτόν μοι χρέους. — 5. Εἴπερ ἄλλο τι.) Ἀντὶ Μέγιστον· Ὁ γὰρ λόγος ὁ ἐγκωμιαστικός ἐστι μέγιστον χρέος πρὸς τοὺς ἐπαινουμένους τά τε ἄλλα, πράξεις λέγω καὶ ἤθη, καὶ κατὰ τὸν λόγον, εἴτ' οὖν τὴν ἐν λόγοις δύναμιν. — 6. Ἐκείνοις θ'.) Ὁ Τε κατασκευαστικός· ὁ δὲ Μὲν βεβαιωτικός. Τὸ δὲ Ἐκείνοις πρὸς τοὺς ἐπαινέτας τῆς ἀρετῆς ἀναφέρεται· Ἡδονὴ δὲ τούτοις γίνεται κατὰ τὴν παροιμίαν· φησὶ γάρ. Παρμ. κθ'. 2. Ἐγκωμιαζομένου δικαίου εὐφρανθήσονται λαοί.... — 7. Ὧν γάρ.) Ἀρετῶν δηλ. ἢ πραγμάτων· περιοδικῶς ἐξέφερε τὸν λόγον ἀντί, πάντα τὰ ἐπαινούμενα πράγματα προκόπτουσιν, ἐπὶ τὸ κρεῖττον προβαίνοντα, καὶ ἐπ' οὐδενὸς τῶν ἁπάντων οὐκ ἔστιν ἐπίδοσις, ἐφ' ὅτῳ οὐκ ἔστιν ἔπαινος· τῶν ἁπάντων φημὶ τὸ δεύτερον, τῶν ἁπάντων γεγονωτέρα τῇ φωνῇ καὶ ἐν ἤθει ἀναγνωστέον· ἔστι γὰρ ἐπανάληψις, ἅπαν τὸ ῥηθὲν βεβαιοῦσα. — 8. Τὸ πρᾶγμα.) Ἡ τοῦ ἀνδρὸς εὐφημία. — 9. Ἐπιδεδειγμένοις.) Τοῖς λόγοις δηλ. — 10. Πᾶσα . . ἀνάγκη.) Ἀπαραίτητον δηλ. ἐστὶ παθεῖν τοῦτο κ. τ. λ. — 11. Δεδηλωκόσι.) Τοῖς λόγοις δηλ. τήν τε γὰρ ἧτταν δηλῶσουσιν ἔργῳ, καὶ τὸ εἶναι τὸν εὐφημούμενον ὑπὲρ πᾶσαν δύναμιν λόγου.

§ 3. 2. Ἃ μὲν οὖν πεποίηκέ μοι τὸν λόγον.) Ἐννοεῖται συγγράψασθαι, ἤ τι τοιοῦτο. — 3. Ταῦτα ἐστίν.) Τὸ χαρίσασθαι δηλαδὴ ἐμαυτῷ τε καὶ τοῖς φιλαρέτοις καὶ τοῖς λόγοις. — 4. Καὶ μετὰ τοσούτους ἐπαινέτας.) Ἀμφίλοχον δηλ. τὸν Ἰκονίου, καὶ Γρηγόριον τῆς Νύσσης· οὗτοι γὰρ ἐγκώμια συνέγραψαν τοῦ μεγάλου Βασιλείου, φησὶ Νικήτας Σαῤῥῶν. — 5. Πάντως δέ.) Ὁ δὲ βεβαιωτικὸς κατὰ τὸν Δή. — 6. Καὶ νόμῳ κρείττονι.) Τῷ τῆς ἀρετῆς δηλ. — 7. Ὑπὲρ ἡμᾶς γενόμενος.) Εἰς τὴν ἄνω ζωὴν μεταστάς. — 8. Εἴπερ τίς ἐστιν.) Διὰ τούτου δείκνυσι πάντας ὁμοίως θερμοὺς

λου θερμότερος· ἀλλὰ μὴ τοῦτο μόνον πάντες ὁμότιμοι τὴν τοῦ ἀνδρὸς[9] εὐφημίαν. Οὐ γὰρ ὀλιγωρίᾳ τὸ εἰκὸς ἐνελείπομεν· μή ποτε τοσοῦτον ἀμελήσαιμεν, ἢ ἀρετῆς, ἢ τοῦ φιλικοῦ καθήκοντος! οὐδὲ τῷ νομίζειν ἄλλοις μᾶλλον ἡμῶν προσήκειν τὸν ἔπαινον. Ἀλλὰ πρῶτον μὲν ὤκνουν τὸν λόγον,[10] (εἰρήσεται γὰρ τἀληθές·) ὥσπερ οἱ τοῖς ἱεροῖς[11] προσιόντες, πρὶν καθαρθῆναι καὶ φωνὴν καὶ διάνοιαν. Ἔπειτα, οὐκ ἀγνοοῦντας μὲν, ὑπομνήσω δ' οὖν ὅμως,[12] ὧν μεταξὺ[13] περὶ τὸν ἀληθῆ λόγον[14] ἠσχολήμεθα κινδυνεύοντα, καλῶς βιασθέντες, καὶ κατὰ Θεὸν ἴσως ἔκδημοι γεγονότες. Καὶ οὐδ' ἀπὸ γνώμης[15] ἐκείνῳ τῷ γενναίῳ τῆς ἀληθείας ἀγωνιστῇ, καὶ μηδὲν ἕτερον ἀναπνεύσαντι, ὅτι μὴ[16] λόγον εὐσεβῆ, καὶ κόσμου παντὸς σωτήριον. Τὰ γὰρ τοῦ σώματος,[17] ἴσως οὐδὲ θαῤῥῆσαι χρὴ λέγειν ἀνδρὶ γενναίῳ, καὶ ὑπὲρ τὸ σῶμα· πρὶν ἐνθένδε μεταναστῇ, καὶ μηδὲν ἀξιοῦντι τῶν τῆς ψυχῆς καλῶν ὑπὸ τοῦ δεσμοῦ[18] παραβλάπτεσθαι.

§ 4. Τὰ μὲν δὴ τῆς ἀπολογίας, ἐνταῦθα κείσθω·[2] καὶ γὰρ, οὐδὲ μακροτέρας οἶμαι ταύτης δεήσειν ἡμῖν, πρὸς ἐκεῖνόν γε ποιούμενος[3] καὶ τοὺς εἰδότας σαφῶς τὰ ἡμέτερα. Ἤδη δὲ πρὸς αὐτὴν ἡμῖν ἰτέον τὴν εὐφημίαν, αὐτὸν προστησαμένοις τοῦ λόγου τὸν ἐκείνου Θεόν.[4] Μὴ καθυβρίσαι[5] τὸν ἄνδρα τοῖς ἐγκωμίοις, μηδὲ πολὺ δεύτερον τῶν ἄλλων ἐλθεῖν· Κἂν ἐκείνου πάντες ἴσον ἀπολειπώμεθα, καθάπερ οὐρανοῦ καὶ ἡλιακῆς ἀκτῖνος,[6] οἱ πρὸς αὐτὰ βλέποντες.

---

ἐπαινέτας τοῦ μεγ. Βασιλ. — 9. Τὴν τοῦ ἀνδρός.) κατ' ἔλλειψιν τῆς Κατά. — 10. Ὤκνουν τὸν λόγον.) Συντιθέναι δηλ. ἔστι δὲ τὸ Ὀκνεῖν εἰπεῖν καὶ χωρὶς ἀπαρεμφάτου· ὅθεν καὶ Δημοσθ. ἐν τῷ περὶ Στεφάν. Οὐδένα κίνδυνον ὀκνήσας ἴδιον. — 11. Ὥσπερ οἱ τοῖς ἱεροῖς.) Ὥσπερ ὀκνοῦσι προσελθεῖν εἰς τὰ ἱερὰ οἱ τούτοις προσιόντες. κ. τ. λ. — 12. Δ' οὖν ὅμως.) Ἐκ παραλλήλου. — 13. Ὧν μεταξύ.) Ὑπομνήσω δηλ. ἐκείνων καθ' ἃ· καὶ ἔστιν Ἀττικὴ ἡ σύνταξις, πρὸς τὸ ἡγούμενον τὸ ἀναφορικὸν συμφωνήσασα — 14. Περὶ τὸν ἀληθῆ λόγον.) Τὸ ἀληθὲς δόγμα τῆς πίστεως τὴν ὀρθοδοξίαν· ἐκινδύνευε γὰρ ὑπὸ τῶν Ἀρειανῶν καὶ πνευματομάχων· ὅθεν καὶ οἱ ἐν Κωνσταντινουπόλει ἐβιάσαντο αὐτὸν ἐκεῖσε ἀπελθεῖν· καὶ τοὺς οἴακας τῆς Ἐκκλησίας λαβεῖν, ἔνθα καὶ ἐπίσκοπος Κωνσταντινουπόλεως ἐγένετο, ἐλθών· ὥς φησι Νικήτας. — 15. Καὶ οὐδ' ἀπὸ γνώμης.) Ἐννοεῖται Ἦν· οἷον οὐκ ἄνευ δὲ τῆς θελήσεως ἦν ἐκείνου καὶ προτροπῆς· ἡ δὲ δοτικὴ περιποιητικῶς διὰ τὸ ὑπαρκτικόν. — 16. Ὅτι μή.) Ἐξαιρετικὸν ἀντὶ Πλὴν· καὶ ἔστιν ἀντὶ τοῦ, καὶ μηδὲν ἕτερον ἢ λόγου. — 17. Τὰ γὰρ τοῦ σώματος.) Πάθη δηλ. οἷον· τὸ δὲ εἰπεῖν καὶ τρίτον τι αἴτιον παρὰ τὸν ὄκνον καὶ ἀσχολίαν, τὴν τοῦ σώματός μου δηλ. ἀσθένειαν. ἴσως οὐδὲ χρὴ θαῤῥῆσαι λέγειν πρὸς ἄνδρα γενναῖον καὶ ὑπὲρ τὸ σῶμα ὄντα καὶ πρὶν ἐντεῦθεν μεταν. κ. τ. λ. — 18. Ὑπὸ τοῦ δεσμοῦ.) Τοῦ σώματος δηλ.

§ 4. 2. Ἐνταῦτα κείσθω.) Μέχρι τούτου περατούσθω. — 3. Ποιούμενος.) Τὴν ἀπολογίαν. — 4. Τὸν ἐκείνου Θεόν.) Ὥσπερ γὰρ λέγομεν Θεὸς Ἀβραὰμ, καὶ Ἰσαὰκ, καὶ Ἰακὼβ, οὕτως ἔχομεν λέγειν καὶ Θεὸς Βασιλείου, οὐκ ἄλλο τι δηλοῦντες ἢ τὸν ἕνα Θεὸν δημιουργὸν τοῦ παντὸς ἐν Τριάδι προσκυνούμενον. — 5. Μὴ καθυβρίσαι.) Κατ' ἔλλειψιν ἤτοι τοῦ, ὥστε· ἢ τοῦ, ἕνεκεν τοῦ, μὴ καθυβρ. διὰ τοῦτο δηλονότι ἐπικαλούμεθα προστάτην τοῦ λόγου τὸν Θεόν. — 6. Ἀκτῖνος.) Ἀπὸ κοινοῦ ἐννοεῖται τὸ Ἀπολείπονται.

§ 5. Εἰ μὲν οὖν ἑώρων αὐτὸν γένει καὶ τοῖς ἐκ γένους φιλοτιμούμενον, εἴ τινι τῶν μικρῶν ὅλως, καὶ ὅσων[2] οἱ χαμαὶ βαίνοντες, ἄλλος ἂν ἡρώων ὤφθη[3] κατάλογος, ὅσα τῶν ὑπὲρ ἐκεῖνον τοῖς χρόνοις ἐκείνῳ συνεισενεγκεῖν εἴχομεν. Καὶ οὐδ' ἂν ταῖς ἱστορίαις παρήκαμεν ἔχειν τι πλέον ἡμῶν, ἐκεῖνό γε πλέον ἔχοντες πάντως, τῷ μὴ πλάσματι,[4] μηδὲ μύθοις, αὐτοῖς δὲ τοῖς πράγμασι καλωπίζεσθαι, καὶ ὧν[5] πολλοὶ μάρτυρες. Πολλὰ μὲν γὰρ ὁ Πόντος[6] ἡμῖν ἐκ τοῦ πατρὸς προβάλλει τὰ διηγήματα, καὶ οὐδενὸς ἐλάττω τῶν πάλαι περὶ αὐτὸν θαυμάτων, ὧν πλήρης[7] πᾶσα συγγραφή τε, καὶ ποίησις. Πολλὰ δὲ τὸ ἐμὸν ἔδαφος[8] τοῦτο οἱ σεμνοὶ Καππαδόκαι, τὸ μηδὲν ἧττον κουροτρόφον ἢ εὔιππον.[9] Ὅθεν τῷ πατρῴῳ γένει τὸ μητρῷον ἡμεῖς ἀντανίσχομεν.[10] Στρατηγίαι τε καὶ δημαγωγίαι καὶ κράτος ἐν βασιλείοις αὐλαῖς· ἔτι δὲ περιουσίαι, καὶ θρόνων ὕψη, καὶ τιμαὶ δημόσιαι, καὶ λόγων λαμπρότητες, τίνων ἢ πλείους, ἢ μείζους; Ὧν ἡμῖν εἰ βουλομένοις εἰπεῖν ἐξῆν, οὐδὲν ἂν ἡμῖν οἱ Πελοπίδαι, καὶ Κεκροπίδαι, καὶ οἱ Ἀλκμαίωνες, Αἰακίδαι τε καὶ Ἡρακλεῖδαι, καὶ ὧν οὐδὲν[11] ὑψηλότερον. Οἵτινες ἐκ τῶν οἰκείων φανερῶς εἰπεῖν οὐκ ἔχοντες, ἐπὶ τὸ ἀφανὲς καταφεύγουσι, δαίμονάς δή τινας καὶ θεοὺς, καὶ μύθους τοῖς προγόνοις.

---

§ 5. 2. Καὶ ὅσων.) Καὶ ἐκείνων τινὶ, ὅσοις φιλοτιμοῦνται οἱ χαμαί. — 3. Ἡρώων ὤφθη.) Πρὸς τοὺς παρ' Ἡσιόδου καὶ Ὁμήρου καταλεγομένους Ἥρωας τῶν Ἑλλήνων ὁ λόγος ἀποτείνεται· ὅθεν καὶ τὸ, ἄλλος· οἷον· ἄλλος οὗτος παρὰ τὸν παρ' Ἡσιόδῳ καὶ Ὁμήρῳ ὀφθείη ἂν κατάλογος Ἡρώων· ὁ δὲ νοῦς. Εἰ ἑώρων αὐτὸν φιλοτιμούμενον γένει, ὅσα εἴχομεν συνεισενεγκεῖν ἐκείνῳ τῶν πρὸ αὐτοῦ τοῖς χρόνοις γεγονότων, ταῦτα ἂν ὤφθη ἄλλος κατάλογος ἡρώων· ὅπερ ἐστὶν Εἰ οὕτως αὐτὸν ἐγινώσκομεν φιλοτιμούμενον, καταλέγοντες τοὺς προγόνους αὐτοῦ, ἄλλον ἂν ἐποιησάμεθα ἡρώων κατάλογον. — 4. Τῷ μὴ πλάσματι.) Καθάπερ δηλ. Ἥσιοδος καὶ Ὅμηρος. — 5. Καὶ ὧν.) Καὶ ἐκείνοις, ὧν πολ. — 6. Ὁ Πόντος.) Πατρὶς τοῦ πατρὸς τοῦ μεγ. Βασιλ. — 7. Ὧν πλήρης.) Περὶ ὧν Ἀπολλώνιος διηγεῖται ὁ ποιητὴς, καὶ Ξενοφῶν, καὶ Πολύβιος οἱ Ἱστορικοί· καὶ ἄλλοι· ὥς φησι Βασίλειος ὁ ὑπομνηματιστής. — 8. Τὸ ἐμὸν ἔδαφος.) Καππαδόκης γὰρ ὁ μέγ. Γρηγόρ. ὅθεν καὶ σεμνύνει τὴν πατρίδα. — 9. Κουροτρόφον ἢ εὔιππον.) Ἐκ τοῦ Ὁμήρου λαβὼν λέγει· Ὅμηρος γὰρ Ὀδυσ. ι, 27. περὶ Ἰθάκης λέγει. Τραχεῖα, ἀλλ' ἀγαθὴ κουροτρόφος. — 10. Ἀντανίσχομεν.) Καθάπερ ἡ σελήνη πρὸς τὸν ἥλιον ἀντανίσχει· οὕτω καὶ ἡμεῖς τὸ μητρῷον γένος τοῦ μεγ. Βασιλ. πρὸς τὸ πατρῷον. — 11. Καὶ ὧν οὐδέν.) Καὶ ὧν οὐκ ἔστιν οὐδὲν ὑψηλότερον ἐννοεῖν ἢ λέγειν, ἀλλ' ὅτι εἰσὶ Πελοπίδ. καὶ τλ. Σημειούσθω δὲ ὅτι ταῦτα παρ' Ἕλλησι τὰ πρῶτα ἦσαν γένη. Πελοπίδαι μὲν ἐκ Πέλοπος τοῦ Ταντάλου τοῦ Διὸς καὶ τῆς Νύμφης Πλότης· ὅθεν καὶ ἡ Πελοπόννησος ὠνομάσθη βασιλεύσαντος ἐκεῖ Πέλοπος, πατρὸς Οἰνομάου καὶ Ἱπποδαμείας· Κεκροπίδαι δὲ, ἐκ Κέκροπος τοῦ Αἰγυπτίου· ὃς ἐλθὼν εἰς τὴν Ἀττικὴν ἐξ Αἰγύπτου, πρῶτος ἐβασίλευσεν· ὅθεν οἱ Ἀθηναῖοι μὴ ἔχοντες γένος αὐτοῦ εἰπεῖν, αὐτόχθονα εἶναι ἔλεγον· οἱ δ' Ἀλκμαίωνες ἀπὸ Ἀλκμαίωνος τοῦ Ἀμφιαράου τοῦ Ἀπόλλωνος καὶ τῆς Ὑπερμνήστρας τῆς Δαναοῦ· Οὗτος ὁ Ἀλκμαίων ἦν ἡγούμενος τῆς ἐπὶ Θήβας ἐκστρατείας τῶν Ἐπιγόνων· καὶ τὴν τυραννίδα Πεισιστράτου καταλύσας, καὶ τὴν ἐλευθερίαν ἀποκαταστήσας τοῖς Ἀθηναίοις· οἱ δὲ Αἰακίδαι, ἀπὸ Αἰακοῦ τοῦ Διὸς καὶ τῆς Αἰγίνης, βασιλέως Αἰγίνης, ἐξ οὗ Τελαμὼν καὶ Πηλεὺς, καὶ τοῦ μὲν Τελαμῶνος Αἴας, τοῦ δὲ Πηλέως Ἀχιλλεύς· Ἡρακλεῖδαι δὲ, ἀπὸ Ἡρακλέους τοῦ Διὸς καὶ τῆς Ἀλκμήνης γυναικὸς Ἀμφιτρύωνος· ἐξ οὗ δὴ οἱ τῶν Λακεδαιμονίων, ἀπὸ Ὕλλου τοῦ Ἡ-

Ε.Υ.Α. της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἐπιφημίζοντες· ὧν τὸ σεμνὸν[12] ἀπιστία, καὶ ὕβρις τὸ πιστευόμενον. Ἐπειδὴ δὲ ὑπὲρ ἀνδρὸς ἡμῖν ὁ λόγος κατ' ἄνδρα[13] κρίνεσθαι τὴν εὐγένειαν ἀξιοῦντος, καὶ μὴ τὰς μὲν μορφὰς[14] καὶ τὰς χρόας[15] ἐξ ἑαυτῶν δοκιμάζεσθαι, καὶ τῶν ἵππων τοὺς εὐγενεστάτους ἢ ἀτιμοτάτους,[16] ἡμᾶς δὲ ζωγραφεῖσθαι τοῖς ἔξωθεν, ἓν ἢ δύο[17] τῶν ἐξ ἀρχῆς ὑπαρχόντων αὐτῷ, καὶ ταῦτα οἰκεῖα τῷ ἐκείνου βίῳ, καὶ οἷς ἂν μάλιστα ἥσθείη λεγομένοις, εἰπὼν· ἐπ' αὐτὸν δὴ[18] τρέψομαι.

§ 6. Ἄλλου μὲν[2] οὖν ἄλλο τι γνώρισμα καὶ διήγημα, καὶ γένους καὶ τοῦ καθ' ἕκαστον, ἢ μικρὸν ἢ μεῖζον· καθάπερ τις κλῆρος πατρῷος ἢ πόῤῥωθεν ἢ ἐγγύθεν ἠργμένος, κάτεισιν εἰς τοὺς ὕστερον. Τῷ δὲ γένοιν ἀμφοτέροιν[3] τὸ εὐσεβὲς ἐπίσημον· Δηλώσει δὲ νῦν ὁ λόγος. Διωγμὸς[4] ἦν, καὶ διωγμῶν ὁ φρικωδέστατος καὶ βαρύτατος, εἰδόσι λέγω τὸν Μαξιμίνου,[5] ὃς[6] πολλοῖς τοῖς ἐγγύθεν γενομένοις ἐπιφυεὶς, πάντας φιλανθρώπους ἀπέδειξε, θάρσει τε πολλῷ ῥέων, καὶ φιλονεικῶν τὸ τῆς ἀσεβείας κράτος ἀναδύσασθαι. Τοῦτον[7] πολλοὶ μὲν ὑπέσχον τῶν ἡμετέρων ἀγωνιστῶν, καὶ μέχρι θανάτου διηγωνισμένοι, καὶ πρὸ θανάτου μικρὸν,[8] τοσοῦτον ἀπολειφθέντες, ὅσον ἐπιβιῶναι τῇ νίκῃ, καὶ μὴ συναπελθεῖν τοῖς παλαίσμασιν· ἀλλ' ὑπολειφθῆναι τοῖς ἄλλοις, ἀλεῖπται τῆς ἀρετῆς, ζῶντες μάρτυρες, ἔμπνοοι στῆλαι, σιγῶντα κηρύγματα.[9] Σὺν πολλοῖς δὲ τοῖς ἀριθμουμένοις καὶ οἱ πρὸς πατρὸς[10] τούτῳ πατέρες, οἷς πᾶσαν ἀσκήσασιν εὐσεβείας ὁδὸν, καλὴν ἐπήνεγκεν ὁ καιρὸς ἐκεῖνος τὴν κορωνίδα. Παρασκευῆς μὲν γὰρ οὕτως εἶχον καὶ γνώμης,

---

ρακλέους, βασιλεῖς τὸ γένος εἷλκον· ἐξ ὧν δῆλον· διότι λέγει εἰς δαίμονας τινὰς καὶ θεοὺς καὶ μύθους ἀναφέρουσι τὸ γένος αὐτῶν ἐπὶ τῶν προγόνων μεγαφρονοῦντες. — 12. Ὧν τὸ σεμνόν.) Οἷς τὸ μὴ πιστεύειν ἐστὶ σεμνότης· καὶ τὸ πιστεύειν ὕβρις· πῶς γὰρ ἄν τις πιστεύσειεν, ὅτι θεὸς ἦν ὁ Ζεὺς, ὃς θνηταῖς γυναιξὶ κατὰ πάθος ἐμίσγετο. —13. Κατ' ἄνδρα.) Καθ' ἕκαστον ἄνδρα ἐκ τῆς ἰδίας ἀρετῆς δηλ. ἑκάστου. — 14. Τὰς μὲν μορφάς.) Εἴτε δηλαδὴ εὐειδεῖς εἰσὶν εἴτε δυσειδεῖς. — 15. Καὶ τὰς χρόας.) Εἴτε λαμπρὰ εἰσὶν, εἴτε μή. — 16. Τοὺς εὐγενεστάτους ἢ ἀτιμωτάτους.) Ἀπὸ κοινοῦ τὸ, ἐξ ἑαυτῶν δοκιμάζεσθαι — 17. Ἓν ἢ δύο.) Οἷον Ἐπειδὴ ὑπὲρ ἀνδρὸς ἡμῖν ὁ λόγος κατ' ἄνδρα κρίνεσθαι τὴν εὐγένειαν ἀξιοῦντος, εἰπὼν ἓν ἢ δύο, ἐπ' αὐτὸν δὴ τρέψομαι. — 18. Ἐπ' αὐτὸν δή.) Ὁ Δὴ ἀντὶ εὐθύς· ἑτοιμότητος δηλ. σημαντικός.

§ 6. 2. Ἄλλου μέν.) Ἄλλο τι ἢ μικρὸν ἢ μεῖζον γνώρισμα καὶ διήγημα καὶ τοῦ γένους ὅλου, καὶ τοῦ κατὰ μέρος ἑκάστου τοῦ γένους ἄλλου τινὸς ἀνθρώπου ἀρχόμενον πόῤῥωθεν ἢ ἐγγύθεν ὡς τις κλῆρος πατρῷος κάτεισιν· Καὶ ἔστι τὸ Ἠργμένος παρακείμενος ἀπὸ τοῦ Ἄρχομαι. — 3. Ἀμφοτέροιν.) Καὶ τοῦ μητρῴου. — 4. Διωγμός.) Τῶν Χριστιανῶν. — 5. Τὸν Μαξιμίνου.) Διωγμὸν δηλ. Οὗτος γὰρ ὑπὲρ πάντας διώκτης ἐγένετο τῶν Χριστιανῶν· τοὺς τῆς γῆς σεισμοὺς λέγων καὶ τὰς λοιπὰς δυστυχίας ἐν τῇ ἀρχῇ αὐτοῦ γίνεσθαι· διότι ἀνέχονται τὸ τοῦ Χριστοῦ ὄνομα. — 6. Ὅς.) Διωγμός. — 7. Τοῦτον.) Τὸν διωγμόν. — 8. Καὶ πρὸ θανάτου μικρόν.) Οὐκ ἐναποθανόντες δηλαδὴ ταῖς βασάνοις ἀλλὰ καὶ τοῖς ἄλλοις καὶ τλ. — 9. Σιγῶντα κηρύγματα.) Τοῖς γὰρ στίγμασι καὶ μώλωψιν, οὓς ὑπὲρ Χριστοῦ γενναίως ἔφερον, ἐκήρυττον, τὴν νίκην κατὰ τῶν διωκόντων, οὐ λόγοις. — 10. Καὶ οἱ πρὸς

ὡς πάντα ῥᾳδίως οἴσοντες, ἐξ ὧν στεφανοῖ Χριστὸς τοὺς τὴν ἐκείνου μιμησαμένους ὑπὲρ ἡμῶν ἄθλησιν. Ἐπεὶ δὲ νόμιμον αὐτοῖς ἔδει καὶ τὸν ἀγῶνα γενέσθαι, νόμος δὲ μαρτυρίας μήτε ἐθελοντὰς πρὸς τὸν ἀγῶνα χωρεῖν, φειδοῖ τῶν διωκόντων[11] καὶ τῶν ἀσθενεστέρων, μήτε παρόντας ἀναδύεσθαι· τὸ μὲν γὰρ θράσους, τὸ δὲ ἀνανδρίας ἐστί. Καὶ τούτῳ τιμῶντες ἐκεῖνοι τὸν νομοθέτην,[12] τί μηχανῶνται; μᾶλλον δὲ πρὸς τί φέρονται παρὰ τῆς πάντα τὰ ἐκείνων ἀγούσης προνοίας; ἐπί τινα τῶν Ποντικῶν ὀρῶν λόχμην (πολλαὶ δὲ αὗται παρ' αὐτοῖς εἰσὶ καὶ βαθεῖαι, καὶ ἐπὶ πλεῖστον διήκουσαι) καταφεύγουσι λίαν ὀλίγοις χρώμενοι, καὶ τῆς φυγῆς συνεργοῖς, καὶ τῆς τροφῆς ὑπηρέταις.

§ 7. Ἄλλοι μὲν οὖν θαυμαζέτωσαν τὸ τοῦ χρόνου μῆκος· Καὶ γὰρ ἐπὶ πλεῖστον αὐτοῖς, ὥς φασι, τὸ τῆς φυγῆς παρετάθη· ἔτος που ἕβδομον, καὶ μικρόν τι πρός. Τότε τῆς διαίτης[2] σώμασιν εὖ γεγονόσι στενόν τε καὶ παρηλλαγμένον, ὡς τὸ εἰκὸς, καὶ τὸ ὑπαιθρίους κρυμνοῖς καὶ θάλπεσι καὶ ὄμβροις ταλαιπωρεῖν· ἥ,τε ἄφιλος ἐρημία, καὶ τὸ ἀκοινώνητόν τε καὶ ἄμικτον, ὅσον[3] εἰς κακοπάθειαν τοῖς ὑπὸ πολλῶν δορυφορουμένοις, καὶ τιμωμένοις. Ἐγὼ δὲ, ὃ τούτων μεῖζόν ἐστι καὶ παραδοξότερον, λέξων ἔρχομαι· ἀπιστήσει δὲ οὐδεὶς, ἢ ὅς τις[4] οὐδὲν μέγα οἴεται τοὺς ὑπὲρ Χριστοῦ διωγμοὺς καὶ κινδύνους, κακῶς γινώσκων, καὶ λίαν ἐπικινδύνως.

§ 8. Ἐπόθουν τι καὶ τῶν πρὸς ἡδονὴν οἱ γεννάδες, τῷ χρόνῳ κάμνοντες, καὶ τῶν ἀναγκαίων[2] ὄντες ἐπικορεῖς. Καὶ τὰ μὲν τοῦ Ἰσραὴλ[3] οὐκ ἐφθέγξαντο· οὐ γὰρ ἦσαν γογγυσταὶ κατ' ἐκείνους ἐν τῇ ἐρήμῳ ταλαιπωροῦντας μετὰ τὴν ἐξ Αἰγύπτου φυγὴν, ὡς ἄρα βελτίων Αἴγυπτος αὐτοῖς εἴη τῆς ἐρημίας, πολλὴν τῶν λεβήτων καὶ κρεῶν χορηγοῦσα τὴν ἀφθονίαν, τῶν τε ἄλλων, ὅσα ἐκεῖσε ἀπέλιπον· ἡ γὰρ[4] πλινθεία καὶ ὁ πηλὸς οὐδὲν ἦν αὐτοῖς τότε διὰ

---

πατρός.) Ἐννοεῖται Ἡσαυ. — 11. Φειδοῖ τῶν διωκόντων.) ἵνα δηλ. οἱ μὲν διώκοντες μὴ ἀναγκάζωνται φονεῖς γίνεσθαι, οἱ δὲ ἀσθενεῖς, μὴ μαλακισθῶσιν ἐν τοῖς ἀγῶσιν· ἔστι γὰρ τὸ μὲν πνεῦμα πρόθυμον, ἡ δὲ σὰρξ ἀσθενὴς, κατὰ τὸν λόγον τοῦ Κυρίου Ματθ. κς'. 41. — 12. Τὸν νομοθέτην.) Θεόν.

§ 7. 2. Τό τε τῆς διαίτης.) Περιφραστικῶς ἀντὶ τὴν δίαιταν στενὴν τε καὶ παρηλλαγμένην οὖσαν ἐν σώμασιν εὖ γεγ. — 3. Ὅσον.) Ἐστὶ μέγα δηλ. — 4. Ἢ ὅς τις.) Πλὴν ὅς τις· οὐδεὶς ἄλλος δηλαδὴ ἀπιστήσει, ἐκτὸς εἴτις οὐδ. καὶ τλ.

§ 8. 2. Τῶν ἀναγκαίων.) Ἄρτου καὶ ὕδατος δηλ. καὶ ἅλατος. — 3. Καὶ τὰ μὲν τοῦ Ἰσραήλ.) Οἱ γὰρ Ἑβραῖοι μετὰ τὸ ῥυσθῆναι ἐκ γῆς Αἰγύπτου, καὶ τῆς δουλείας Φαραὼ, πλανώμενοι ἐν ἐρήμῳ Σινὰ διεγόγγυζον λέγοντες· «Ὄφελον ἀπεθάνομεν πληγέντες ὑπὸ Κυρίου ἐν γῇ Αἰγύπτῳ, ὅταν ἐκαθίσαμεν ἐπὶ τῶν λεβήτων τῶν κρεῶν, καὶ ἠσθίομεν ἄρτους εἰς πλησμονήν· ὅτι ἐξηγάγετε ἡμᾶς εἰς τὴν ἔρημον ταύτην, ἀποκτεῖναι πᾶσαν τὴν συναγωγὴν ταύτην ἐν λιμῷ·» Ἔξοδ. ις'. 3. — 4. Ἡ γάρ.) Βασιλεὺς τῶν Αἰγυπτίων, ὁ μετὰ τὸν θάνατον Ἰωσὴφ τοῦ παγκάλλου λεγομένου γενόμενος, ἰδὼν

τὴν ἄνοιαν· ἄλλα δὲ[5] ὡς εὐσεβέστερα[6] καὶ πιστότερα. Τί γάρ ἐστιν, ἔλεγον, τῶν ἀπίστων, εἰ ὁ τῶν θαυμασίων Θεὸς, ὁ θρέψας πλουσίως ἐν ἐρήμῳ ξένον λαὸν, καὶ φυγάδα, ὥστε καὶ ἄρτον ὀμβρῆσαι, καὶ βλῦσαι ὄρνιθας,[7] τρέφων οὐ τοῖς ἀναγκαίοις μόνον, ἀλλὰ καὶ τοῖς περιττοῖς. Εἰ ὁ τεμὼν θάλασσαν,[8] καὶ στήσας ἥλιον,[9] καὶ ποταμὸν ἀνακόψας,[10] καὶ τ' ἄλλα δὴ ὑπειπόντες, ὅσα πεποίηκε· (φιλεῖ γὰρ ἐν τοῖς τοιούτοις φιλιστορεῖν ἡ ψυχὴ, καὶ πολλοῖς θαύμασιν ἀνυμνεῖν τὸν Θεόν·) οὗτος, ἐπῆγον,[11] καὶ ἡμᾶς θρέψειε σήμερον τοῖς τῆς τρυφῆς τοὺς εὐσεβείας ἀγωνιστάς. Πολλοὶ μὲν θῆρες τὰς τῶν πλουσίων διαφυγόντες τραπέζας, ἅπερ ἦν ποτε καὶ ἡμῖν, τοῖς ὄρεσι τούτοις ἐμφωλεύουσι· πολλοὶ δὲ ὄρνιθες τῶν ἐδωδίμων τοὺς ποθοῦντας ἡμᾶς ὑπερίπτανται· ὧν τί μὴ θηράσιμον σοὶ θελήσαντι[12] μόνον. Ταῦτ' ἔλεγον, καὶ ἡ θήρα παρῆν, ὄψον αὐτόματον, ἀπραγμάτευτος πανδαισία, ἔλαφοι τῶν λόφων πόθεν ὑπερφανέντες ἀθρόως· ὡς μὲν εὐμεγέθεις![13] ὡς δὲ πίονες! ὡς δὲ πρόθυμοι πρὸς σφαγήν! Μονονουχὶ καὶ τοῦτο εἰκάζειν ἦν, ὅτι μὴ τάχιον ἐκλήθησαν, ἐδυσχέραινον.

§ 9. Οἱ μὲν εἷλκον τοῖς νεύμασιν, οἱ δὲ ἤγοντο· τίνος διώκοντος, ἢ συναναγκάζοντος; οὐδενός· τίνων ἱππέων; ποίων κυνῶν; τίνος ὑλακῆς ἢ κραυγῆς, ἢ νέων προκατειλαβόντων τὰς διεξόδους τοῖς θήρας νόμοις;[2] εὐχῆς δέσμιοι, καὶ δικαίας αἰτήσεως. Τίς

---

τοὺς Ἰσραηλίτας πληθυνομένους ἐκάκου αὐτοὺς ἐν ἔργοις σκληροῖς ἐν πηλῷ καὶ πλινθείᾳ καὶ πᾶσιν ἔργοις τοῖς ἐν τοῖς πεδίοις· Ἔξοδ. ά. 14. — 5. Ἄλλα δὲ.) Ἐφθέγξαντο. — 6. Ὡς εὐσεβέστερα.) Τὸ ὡς ἐπιτατικόν. — 7. Ἄρτον ὀμβρῆσαι καὶ βλῦσαι ὄρνιθας.) Μετὰ γὰρ τοῦ γογγύσαι ἐν ἐρήμῳ τοὺς Ἑβραίους, ἀπέστειλεν ὁ Θεὸς αὐτοῖς τὸ μὲν ἑσπέρας κρέα, ὀρτυγομήτρας, τὸ δὲ πρωΐ, ἄρτους· τὸ μάννα· Ἔξοδ. ις'. 12... 16. — 8. Ὁ τεμὼν θάλασσαν.) Ὅτε διῆλθον οἱ Ἑβραῖοι διὰ ξηρᾶς ἐν μέσῳ τῆς θαλάσσης· Ἀναχωρούντων γὰρ τῶν Ἑβραίων ἀπὸ τῆς Αἰγύπτου, καὶ γενομένων κατὰ τὴν Ἐρυθρὰν θάλασσαν, καταδιωκόντων τῶν Αἰγυπτίων, ὁ Θεὸς διὰ τῆς ῥάβδου τοῦ Μωϋσέως πλήξαντος τὴν θάλασσαν διέστησε τὰ ὕδατα, καὶ διῆλθον οἱ Ἰσραηλῖται, ἑπομένους δὲ καὶ τοὺς Αἰγυπτίους συνελθόντα τὰ ὕδατα ἐκάλυψεν ἅπαντας, καὶ οὐδεὶς ἀπελείφθη αὐτῶν· Ἔξοδ. ιδ'. 1... 29. — 9. Καὶ στήσας ἥλιον.) Ὅτε γὰρ οἱ βασιλεῖς τῶν Ἰεβουσαίων ἐξεπολιόρκουν τὴν Γαβαὼν, ἣ προσετέθη τοῖς Ἰσραηλίταις, ἐλθὼν ὁ Ἰησοῦς ἐνίκησεν αὐτοὺς κατὰ κράτος, καὶ ἵνα τὸ τέλειον τῆς νίκης γένηται προσέταξε τῷ ἡλίῳ στῆναι, καὶ τῇ σελήνῃ, καὶ ἔστησαν ἕως ἡμέρας μιᾶς, ἕως πλήρης ἡ νίκη ἐγένετο τῶν Ἰσραηλιτῶν κατὰ τῶν Ἰεβουσαίων. Ἰησ. Ναυὴ ί. 1... 16. — 10. Ἀνακόψας.) Ὁ γὰρ Ἰησοῦς τοῦ Ναυὴ μέλλων διαβιβάσαι τοὺς Ἰσραηλίτας πέραν τοῦ Ἰορδάνου, ἐμβιβάσας τοὺς ἱερεῖς αἴροντας τὴν κιβωτὸν τῆς διαθήκης, ἐποίησε στῆναι τὸ ὕδωρ τοῦ ποταμοῦ, καὶ πᾶς ὁ λαὸς Ἰσραὴλ διέβη διὰ ξηρᾶς πέραν τοῦ Ἰορδάνου. Ἰησ. Ναυὴ. γ'. 1... 17. Καὶ Ἠλιοῦ δὲ ὁ προφήτης μέλλων διαβήσεσθαι τὸν Ἰορδάνην, πατάξας τῇ μηλωτῇ τὸ ὕδωρ, καὶ διαιρεθέντος, διέβη αὐτὸς καὶ Ἐλισαιὲ ὁ ὢν μετ' αὐτοῦ· καὶ Ἐλισαιὲ δὲ, ἐπιστρέφων, διὰ τῆς Ἠλιοῦ μηλωτῆς ἀναληφθέντος σχίσας διέβη τὸ ὕδωρ· Βασιλ. Δ'. β'. 7... 14. — 11. Ἐπῆγον.) Ἐπέφερον οἱ προγεγονότες τοῦ μεγ. Βασιλ. ὅτι οὗτος ὁ Θεὸς καὶ ἡμᾶς θρέψ. — 12. Σοὶ θελήσαντι.) Πρὸς τὸν λόγον. — 13. Ὡς μὲν εὐμεγέθεις.) Ἐκ τοῦ Ξενοφ. Κύρ. Παι. Α'. δ'. 11. ἡ ἔκφρασις.

§ 9. 2. Τοῖς θήρας νόμοις.) Κατὰ

Ε.Υ.Α. της Γ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

γνω τοιοῦτον θήραμα τῶν νῦν ἢ τῶν πώποτε; ὢ τοῦ θαύματος! Αὐτοὶ[3] τοῦ θηράματος ἦσαν ταμεῖαι· Ὅσον φίλον εἵχετο θελήμασι μόνον, ὅσον περιττὸν ἀπεπέμφθη ταῖς λόχμαις εἰς δευτέραν τράπεζαν. Οἱ ὀψοποιοὶ αὐτοσχέδιοι, τὸ δεῖπνον εὐπρεπὲς, οἱ δαιτυμόνες εὐχάριστοι, προοίμιον ἔχοντες ἤδη τῶν ἐλπιζομένων, τὸ παρὸν θαῦμα· Ἐξ οὗ καὶ πρὸς τὴν ἄθλησιν, ὑπὲρ ἧς ταῦτα ἦν αὐτοῖς, ἐγίνετο προθυμότεροι. Τοιαῦτα τὰ ἐμὰ διηγήματα· Σὺ δέ μοι λέγε[4] τὰς Ἐλαφηβόλους[5] σου, καὶ τοὺς Ὠρίωνας, καὶ τοὺς Ἀκταίωνας,[6] τοὺς κακοδαίμονας θηρευτὰς, ὁ ἐμὸς διώκτης, ὁ τοὺς μύθους θαυμάζων, καὶ τὴν ἀντιδοθεῖσαν[7] ἔλαφον τῆς παρθένου. Εἴ τι τοσοῦτον εἰς φιλοτιμίαν ἔστι σι, κἂν δῶμεν μὴ μῦθον εἶναι τὸ ἱστορούμενον· ὡς τά γε ἑξῆς τοῦ λόγου καὶ λίαν αἰσχρά· Τί γὰρ ὄφελος τῆς ἀντιδόσεως, εἰ σώζει παρθένον, ἵνα ξενοκτονεῖν διδαχθῇ, ἀπανθρωπίαν μαθοῦσα φιλανθρωπίας ἀντίδοσιν;

§ 10. Τοῦτο μὲν[2] οὖν τοσοῦτον ἐκ πολλῶν, ἓν, καὶ ἀντὶ πολλῶν ὡς ἐμὸς λόγος.[3] Καὶ τοῦτο διῆλθον οὐχ ἵν' ἐκείνῳ προσθῶ τι τῆς εὐδοξίας. Οὔτε γὰρ θάλασσα δεῖται τῶν εἰσρεόντων εἰς αὐτὴν ποταμῶν, κἂν εἰσρέωσιν ὅτι πλεῖστοι καὶ μέγιστοι, οὔτε τῶν εἰσοισόντων τὶ πρὸς εὐφημίαν, ὁ νῦν ἐπαινούμενος.[4] Ἀλλ' ἵν' ἐπιδείξαιμι, οἵων[5] αὐτῷ τῶν ἐξ ἀρχῆς ὑπαρχόντων, καὶ πρὸς ὃ παράδειγμα βλέπων, ὅσον ὑπερηκόντισεν. Εἰ γὰρ μέγα τοῖς ἄλλοις τὸ προσλαβεῖν τι παρὰ τῶν ἄνωθεν εἰς φιλοτιμίαν μεῖζον

---

τοὺς νόμους τοῦ θηρᾶν. — 3. Αὐτοί.) οἱ προπάτορες τοῦ μεγ. Βασιλ. — 4. Σὺ δέ μοι λέγε.) Πρὸς τοὺς εἰδωλολάτρας ἀναφέρει τὸν λόγον. — 5. Τὰς Ἐλαφηβόλους.) Τὴν Ἄρτεμιν λέγει ἐκ τοῦ Σοφοκλέους τὴν λέξιν λαβών· Τραχιν. στίχ. 12. 13.

Ἄρτεμιν Ὀρτυγίαν.
Ἐλαφηβόλον . . .

ὡς τὰς ἐλάφους εὐστόχως βάλλουσαν· κυνηγετικὴ γὰρ ἡ Ἄρτεμις, καὶ θεὰ κυνηγεσίων λέγεται παρ' Ἕλλησιν. — 6. Τοὺς Ὠρίωνας, καὶ τοὺς Ἀκταίωνας.) Ὁ μὲν γὰρ Ὠρίων, συγκυνηγῶν Ἀρτέμιδι, ἐπεχείρησε βιάσασθαι, ἐρασθεὶς αὐτῆς· ἡ δὲ ὀργισθεῖσα, ἀνέδωκεν ἐκ τῆς γῆς σκορπίον, ὃς πλήξας κατὰ τὸν ἀστράγαλον, ἀπέκτεινεν Ὠρίωνα. Σχολιαστ. Ὁμήρ. Ἰλ. Σ. στίχ. 486. Ὁ δὲ Ἀκταίων, ἰδὼν τὴν Ἄρτεμιν γυμνὴν λουομένην, τῆς Θεᾶς εἰς ἔλαφον τὴν μορφὴν ἀλλαξάσης, καὶ λύσσαν τοῖς ἑπομένοις αὐτῷ κυσὶν ἐμβαλούσης, κατεβρώθη ὑπ' αὐτῶν ἀγνοούντων Ἀπολλόδ. Γ'. — 7. Καὶ τὴν ἀντιδοθεῖσαν.) Ἀναγομένους τοὺς Ἕλληνας εἰς Τροίαν, νηνεμία ἐν Αὐλίδι κατέσχε τῆς Εὐβοίας. Κάλχας δ' ὁ μάντις ἀπoροῦσι τὴν Ἰφιγένειαν θυγατέρα Ἀγαμέμνονος θῦσαι Ἀρτέμιδι παρεκελεύετο· αὕτη δὲ γενναίως ὑπὲρ Ἑλλήνων θανεῖν προθυμουμένη, μονονουχὶ ἱερευομένη, ἀναρπασθεῖσα ὑπὸ Ἀρτέμιδος ἐλεησάσης τὴν παρθένον, ἔλαφον ἀντ' αὐτῆς ὑποτεθείσης ἀνήχθη εἰς Ταύρους· ἔνθα ἱέρεια Ἀρτέμιδος ἀναδειχθεῖσα, ξενοκτονεῖν ἐδιδάσκετο· καὶ θύειν τοὺς ξένους τῇ Ἀρτέμιδι, κατὰ νόμον τῶν Ταύρων, κατασφάττειν τοὺς ἐπιπλέοντας ξένους κελεύοντα· Ὅρα τὰς δύο Ἰφιγενείας Εὐριπίδ. τήν τε ἐν Αὐλίδι καὶ τὴν ἐν Ταύροις.

§ 10. 2. Τοῦτο μέν.) Τὸ θαῦμα δηλ. — 3. Ὡς ἐμὸς λόγος.) Κατὰ τὸ ἐμὸν φρόνημα, κατὰ τὴν ἐμὴν γνώμην. — 4. Ὁ νῦν ἐπαινούμενος.) Ἀπὸ κοινοῦ τὸ, Δεῖται. — 5. Οἵων.) Οἵων ὑπαρχόντων αὐτῷ τῶν προγόνων· οἷον· τίνες ἦσαν οἱ πρόγονοι αὐτοῦ, καὶ τί τὸ παράδειγμα, πρὸς ὃ ἔβλεπε, καὶ πόσον ὑπερέβη αὐτούς.

ἐκείνῳ τὸ προσθεῖναι τῆς ἄνω παρ' ἑαυτοῦ, καθάπερ ῥεύματος ἀνατρέχοντος.

§ 11. Τῆς δὲ τῶν πατέρων συζυγίας οὐχ ἧττον κατὰ τὸ τῆς ἀρετῆς ὁμότιμον, ἢ καὶ τὰ σώματα, πολλὰ μὲν καὶ ἄλλα[2] γνωρίσματα· πτωχοτροφίαι,[3] ξενοδοχίαι, ψυχῆς κάθαρσις ἐξ ἐγκρατείας, ἀπόμοιρα κτήσεως[4] Θεῷ καθιερωθείσης, πρᾶγμα[5] οὔπω τότε πολλοῖς σπουδαζόμενον, ὥσπερ νῦν αὐξηθέν τε καὶ τιμηθὲν ἐκ τῶν πρώτων ὑποδειγμάτων, τά τε ἄλλα,[6] ὅσα Πόντῳ καὶ Καππαδοκίαις[7] μερισαμένοις, ἤρκεσε πολλῶν πληροῦν ἀκοάς· ἐμοὶ δὲ μέγιστον[8] δοκεῖ καὶ περιφανέστατον ἡ εὐτεκνία· τοὺς γὰρ αὐτοὺς πολύπαιδας καὶ καλλίπαιδας, μῦθοι μὲν ἴσως[9] ἔχουσιν, ἡμῖν δὲ τούτους ἡ πεῖρα παρέστησε, τοιούτους μὲν αὐτοὺς γεγονότας, ὥστε εἰ καὶ μὴ τοιούτων ἦσαν πατέρες, ἑαυτοῖς εἰς εὐδοξίαν ἀρκεῖν· τοιούτων δὲ πεφηνότες πατέρες, ὥστε, εἰ καὶ μὴ αὐτοὶ τοσοῦτον ἦσαν[10] εἰς ἀρετὴν, πάντας ὑπεραίρειν τῇ εὐτεκνίᾳ. Ἕνα μὲν γὰρ ἢ δύο γενέσθαι τῶν ἐπαινουμένων, κἂν τῇ φύσει δοίη τις· ἡ δὲ διὰ πάντων ἀκρότης, σαφὲς τῶν ἀγαγόντων ἐγκώμιον. Δηλοῖ δὲ ὁ μακαριστὸς τῶν ἱερέων καὶ τῶν παρθένων ἀριθμὸς, καὶ τῶν ἐν γάμῳ,[11] μηδὲ τῇ συζυγίᾳ βλαβῆναι βιασαμένων, πρὸς τὴν ἴσην τῆς ἀρετῆς εὐδοκίμησιν· ἀλλὰ βίων αἱρέσεις μᾶλλον ἢ πολιτείας ταῦτα ποιησαμένων.

§ 12. Τίς οὐκ οἶδε τὸν τούτου πατέρα Βασίλειον, τὸ μέγα παρὰ πᾶσιν ὄνομα, ὃς πατρικῆς εὐχῆς ἔτυχεν, (ἵνα μὴ λέγω μόνος·) εἴπερ τις ἀνθρώπων;[2] Παντὸς γὰρ κρατῶν ἀρετῇ παρὰ τοῦ παιδὸς

---

§ 11. 2. Πολλὰ μὲν καὶ ἄλλα.) Πολλὰ δηλ. καὶ ἄλλα γνωρίσματά εἰσι τῆς συζυγίας τῶν πατέρων, ἥτις συζυγία ὁμοίως ἔστι καὶ κατὰ τὸ ὁμότιμον τῆς ἀρετῆς, καί. — 3. Πτωχοτροφίαι.) Ἐπεξήγησις τῶν γνωρισμάτων. — 4. Ἀπόμοιρα κτήσεως.) Μέρος τῶν ὑπαρχόντων καθιερωθὲν τῷ Θεῷ. — 5. Πρᾶγμα.) Τὸ καθιεροῦν δηλ. τῷ Θεῷ μέρος τῆς κτήσεως. — 6. Τά τε ἄλλα.) Γνωρίσματα δηλ. τῆς ἀρετῆς εἰσὶ τῶν προγόνων τοῦ μεγ. Βασιλ. — 7. Ὅσα Πόντῳ καὶ Καππαδοκίαις) Πόντῳ μὲν ἐκ μέρους τοῦ πατρὸς, Καππαδόκαις δὲ ἐκ μέρους τῆς μητρός. — 8. Μέγιστον.) Γνώρισμα εἶναι δηλ. — 9. Μῦθοι μὲν ἴσως.) Ἴσως ἐνταῦθα τὸ τῆς Νιόβης αἰνίττεται μυθολόγημα. Αὕτη γὰρ ἐπὶ τῇ πολυτεκνίᾳ, καὶ εὐτεκνίᾳ μέγα φρονήσασα, ἑπτὰ υἱοὺς καὶ θυγατέρας ἴσας ἔχουσα, Λητοῖ ἐμέμφετο δύο γεννησάσῃ· ἡ δ' ὀργισθεῖσα, προσέταξε τοῖς παισὶ κτεῖναι Νιόβης τὰ τέκνα· καὶ ὁ μὲν Ἀπόλλων τοξεύσας τοὺς παῖδας ἔκτεινε· ἡ δ' Ἄρτεμις, τὰς θυγατέρας· Ἀπολλοδ. Γ'. — 10. Τοσοῦτον ἦσαν.) Περιφανεῖς δηλ. — 11. Τῶν ἱερέων καὶ τῶν παρθένων . . . καὶ τῶν ἐν γάμῳ.) Εἰσὶ δὲ, Μακρίνα, Βασίλειος, Γρηγόριος, Πέτρος, Ναυκράτιος· ἡ μὲν γὰρ παρθένος, τρεῖς δὲ ἱερεῖς, Βασίλειος ὁ Καισαρείας, Γρηγόριος ὁ Νύσσης, καὶ Πέτρος ὁ Σεβαστείας· ὁ δὲ Ναυκράτιος τὸν γάμον, εἰ καὶ μόλις κατεδέξατο, ἀλλ' ἐβιάσατο μηδὲν ἐμποδισθῆναι ὑπ' αὐτοῦ πρὸς ἀρετήν· ἑλόμενος γὰρ τὸν ἐν γάμῳ βίον, πολιτείαν εἶχεν ἴσην τοῖς ἱερεῦσιν· ὥστε τὰ τρία ταῦτα παρθενία, γάμος, ἱερωσύνη διαφόρων ἐκλογαὶ βίων ἦσαν.

§ 12. 2. Ὑπερ τις ἀνθρώπων;) Ὑπὲρ

κωλύεται μόνου τὸ πρωτεῖον ἔχειν. Τίς Ἐμμελίαν[3] τὴν, ὅπερ ἐγένετο, προκληθεῖσαν, ἢ γενομένην, ὃ προεκλήθη, τὴν τῆς ἐμμελείας οὕτως φερώνυμον, ἢ τοῦτο ἐν γυναιξὶν ὤφθη, εἰ δεῖ συντόμως εἰπεῖν, ὅπερ ἐν ἀνδράσιν ἐκεῖνος. Ὥστ᾽, εἴπερ ἔδει δουλεύσοντα πάντως τῇ φύσει[4] τὸν νῦν εὐφημούμενον ἀνθρώποις δοθῆναι, ὥσπερ τινὰ τῶν παλαιῶν πάλαι παρὰ Θεοῦ δεδομένων εἰς κοινὸν ὄφελος, μήτε ἐξ ἄλλων μᾶλλον ἁρμόζειν, ἢ ἐκείνων[5] τοῦτον γενέσθαι, μήτε ἐκείνοις ἑτέρου μᾶλλον ἢ τοῦδε πατρῷσιν ὀνομασθῆναι· ὅπερ οὖν, καλῶς ποιοῦν, καὶ συνέδραμεν.

§ 13. Ἐπεὶ δὲ τὰς ἀπαρχὰς τῶν ἐπαίνων νόμῳ θείῳ[2] πειθόμενοι, ὃς πατράσι κελεύει πᾶσαν νέμειν τιμὴν, τοῖς μνημονευθεῖσιν ἀποδεδώκαμεν, ἐπ᾽ αὐτὸν ἴωμεν ἤδη, τοσοῦτον εἰπόντες, ὃ καὶ πᾶσιν ἂν, οἶμαι, δόξειεν ἀληθῶς λέγεσθαι, τοῖς ἐκεῖνον ἐπισταμένοις, ὅτι μόνοις ἡμῖν ἔδει τῆς ἐκείνου φωνῆς, ἐκεῖνον ἐγκωμιάζουσιν. Ὁ γὰρ αὐτὸς ὑπόθεσίς τε λαμπρὰ τοῖς ἐπαινοῦσι, καὶ μόνος τῇ τοῦ λόγου δυνάμει τῆς ὑποθέσεως ἄξιος.

§ 14. Κάλλους μὲν δὴ καὶ ῥώμης καὶ μεγέθους, ὅτι τοὺς πολλοὺς ὁρῶ χαίροντας τοῖς βουλομένοις παραχωρήσομεν.[2] Οὐχ ὅτι κἂν τούτοις ἔλαττόν τινος ἠνέγκατο τῶν μικρολόγων, καὶ περὶ τὸ σῶμα καλινδουμένων, ἕως ἦν ἔτι νέος, καὶ οὔπω φιλοσοφίᾳ τῶν σαρκῶν κατεκράτησεν. Ἀλλ᾽ ἵνα μὴ ταυτὸν πάθω τοῖς ἀπειροτέροις τῶν ἀθλητῶν, οἳ τὴν ἰσχὺν, ἐν τοῖς εἰκῇ παλαιομένοις καὶ παρέργοις κενώσαντες, ἥττους ἐν τοῖς καιροῖς[3] εὑρίσκονται, καὶ τοῖς ἐξ ὧν[4] τὸ νικᾷν ὑπάρχει, καὶ στεφανίτας ἀναγορεύεσθαι. Ἃ δὲ[5] οὐδαμῶς ἂν εἰπὼν, οἶμαι περιττὸς δόξειν, οὐδὲ ἔξω τοῦ σκοποῦ βάλλειν τὸν λόγον, ταῦτ᾽ ἐπαινέσομαι.

§ 15. Οἶμαι δὲ πᾶσιν ἂν ὁμολογεῖσθαι τῶν νοῦν ἐχόντων, παίδευσιν τῶν παρ᾽ ἡμῖν ἀγαθῶν εἶναι τὸ πρῶτον. Οὐ ταύτην μόνην τὴν εὐγενεστέραν καὶ ἡμετέραν,[2] ἣ πᾶν τὸ ἐν λόγοις κομψὸν καὶ φιλότιμον ἀτιμάζουσα, μόνοις ἔχεται τῆς σωτηρίας, καὶ

---

πάντα ἄνθρωπον. — 3. Ἐμμελίαν.) Τὴν μητέρα τοῦ μέγ. Βασ. — 4. Δουλεύσοντα. . . τῇ φύσει.) Ἵνα ἐξυπουργήσῃ, δηλ. ὑπηρετήσῃ τὴν ἀνθρωπίνην φύσιν τὸ ὁμόφυλον πρὸς κοινὴν ὠφέλειαν. Ὅπερ ἐστιν· Εἰ προωρισμένον ἦν γεννηθῆναι τοῖς ἀνθρώποις τὸν μέγ. Βασιλ. εἰς κοινὴν ὠφέλειαν, καθάπερ ἐκεῖνοι οἷον· Ἀβραὰμ, Μωϋσῆς, Σαμουὴλ καὶ οἱ τοιοῦτοι. — 5. Ἢ ἐκείνων.) Τοῦ Βασιλ. καὶ τῆς Ἐμμελ.

§ 13. 2. Νόμῳ θείῳ.) Τῷ κελεύοντι τιμᾷν τοὺς γονεῖς. Ἔξοδ. κ΄. 12.

§ 14. 2. Παραχωρήσομεν.) Λέγειν ἢ ἐπαινεῖν αὐτὸν τὸ μέγ. Βασ. — 3. Ἐν τοῖς καιροῖς.) Τοῦ καθ᾽ αὐτὸ ἀγῶνος. — 4. Καὶ τοῖς, ἐξ ὧν.) Κα ἐν ἐκείνοις, ἐξ ὧν. — 5. Ἃ δέ.) Ἃ δὲ εἰπὼν, οὐδαμῶς ἂν οἶμαι δόξειν περιττὸς καὶ τλ.

§ 15. 2. Τὴν εὐγενεστέραν καὶ ἡμετέραν.) Τὴν Θεολογίαν δηλ. καὶ τὴν περὶ τῆς ὀρθῆς πίστεως· τὴν ἐν ταῖς θείαις γραφαῖς· περὶ ἧς ὁ Κύριος εἶπεν· Ἐρευνᾶται τὰς γραφὰς, ἐν ταῖ-

ΕΥ.Α. της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τοῦ κάλλους τῶν νοουμένων, ἀλλὰ καὶ τὴν ἔξωθεν,[3] ἣν πολλοὶ Χριστιανῶν διαπτύουσιν, ὡς ἐπίβουλον καὶ σφαλερὰν καὶ Θεοῦ πόῤῥω βάλλουσαν, κακῶς εἰδότες. Ὥσπερ γὰρ οὐρανὸν, καὶ γῆν, καὶ ἀέρα, καὶ ὅσα τούτων, οὐκ ἐπειδὴ κακῶς τινὲς ἐξειλήφασιν ἀντὶ Θεοῦ τὰ τοῦ Θεοῦ σέβοντες, διὰ τοῦτο περιφρονητέον, ἀλλ' ὅσον χρήσιμον αὐτῶν καρπούμενοι πρός τε ζωὴν καὶ ἀπόλαυσιν, ὅσον ἐπικίνδυνον διαφεύγομεν· οὐ τῷ κτίστῃ τὴν κτίσιν ἐπανιστάντες κατὰ τοὺς ἄφρονας, ἀλλ' ἐκ τῶν δημιουργημάτων τὸν δημιουργὸν καταλαμβάνοντες· καὶ ὅ φησιν ὁ θεῖος Ἀπόστολος· αἰχμαλωτίζοντες[4] πᾶν νόημα εἰς Χριστόν. Ὡς δὲ καὶ πυρὸς, καὶ τροφῆς, καὶ σιδήρου, καὶ τῶν ἄλλων, οὐδὲν καθ' ἑαυτὸ χρησιμώτατον ἴσμεν, ἢ βλαβερώτατον, ἀλλ' ὅπως ἂν δοκῇ τοῖς χρωμένοις· ἤδη δὲ καὶ τῶν ἑρπιστικῶν θηρίων, ἔστιν ἃ τοῖς πρὸς σωτηρίαν φαρμάκοις συνεκεράσαμεν.[5] Οὕτω καὶ τούτων[6] τὸ μὲν ἐξεταστικόν τε καὶ θεωρητικὸν, ἐδεξάμεθα· ὅσον δὲ[7] εἰς δαίμονας φέρει, καὶ πλάνην, καὶ ἀπωλείας βυθὸν διαπτύσαμεν· ὅτι μὴ[8] κἀκ τούτων πρὸς θεοσέβειαν ὠφελήμεθα· ἐκ τοῦ χείρωνος τὸ κρεῖττον καταμαθόντες, καὶ τὴν ἀσθένειαν ἐκείνων, ἰσχὺν τοῦ καθ' ἡμᾶς λόγου[9] πεποιημένοι. Οὔκουν ἀτιμαστέον τὴν παίδευσιν, ὅτι τοῦτο δοκεῖ[10] τισὶν, ἀλλὰ σκαιοὺς καὶ ἀπαιδεύτους ὑποληπτέον τοὺς οὕτως ἔχοντας,[11] οἳ βούλοιντ' ἂν ἅπαντας εἶναι καθ' αὑτοὺς,[12] ἵν' ἐν τῷ κοινῷ τὸ κατ' αὐτοὺς[13] κρύπτηται· καὶ τοὺς τῆς ἀπαιδευσίας ἐλέγχους διαδιδράσκουσιν. Ἐπεὶ δὲ τοῦτο[14] ὑπεθέμεθα, καὶ ἀνωμολογησάμεθα, φέρε τὰ κατ' αὐτὸν θεωρήσωμεν.

§ 16. Τὰ μὲν δὴ πρῶτα τῆς ἡλικίας ὑπὸ τῷ μεγάλῳ πατρί,[2] ὃν κοινὸν παιδευτὴν ἀρετῆς ὁ Πόντος τηνικαῦτα προὐβάλλετο, σπαργανοῦται καὶ διαπλάττεται πλάσιν[3] τὴν ἀρίστην τε καὶ καθαρωτάτην, ἣν ἡμερινὴν ὁ θεῖος Δαβίδ[4] καλῶς ὀνομάζει, καὶ τῆς νυκτερινῆς ἀντίθετον. Ὑπὸ δὴ τούτῳ καὶ βίον καὶ λόγον συναυ-

ταις γὰρ εὑρήσετε. . . . — 3. Τὴν ἔξωθεν.) Τήν τε ἐγκύκλιον, οἷον· Γραμματικήν, Ῥητορικὴν, Ποιητικὴν, καὶ τὴν Φιλοσοφίαν· οἷον· Μαθηματικὴν, Φυσικὴν, Μεταφυσικὴν, καὶ Λογικήν. — 4. Αἰχμαλωτίζοντες.) Ἐν τῇ πρὸς Κόριθ. Β'. ι. 5. — 5. Συνεκεράσαμεν.) Ἀντιχρονισμὸς ἀντὶ Συγκερνοῦμεν. — 6. Τούτων.) Τῶν ἔξωθεν μαθημάτων. — 7. Ὅσον δέ.) Περὶ τῆς τῶν Ἑλλήνων μυθολογικῆς θεολογίας φησί. — 8. Ὅτι μή.) Πλὴν ὅσον ἐκ τούτων ὠφελοίμεθ' ἂν· καταμαθόντες ἐκ τοῦ χείρονος τὸ κρεῖττον· καὶ τὴν ἀσθένειαν τῶν Ἑλληνικῶν σεβασμάτων ἰσχὺν τοῦ καθ' ἡμᾶς σωτηρίου λόγου ποιούμενοι. — 9. Τοῦ καθ' ἡμᾶς λόγου.) Τῆς θεοσεβείας δηλ. — 10. Ὅτι . . . δοκεῖ.) Καταφρονεῖν δηλ. καὶ ἀτιμάζειν τὴν Ἑλλήνων παίδευσιν. — 11. Τοὺς οὕτως ἔχοντας.) Τοὺς τοιαύτην γνώμην ἔχοντας τοὺς οὕτω φρονοῦντας. — 12. Καθ' ἑαυτούς.) Ὁμοίους ἑαυτοῖς τὴν ἀμάθειαν. — 13. Τὸ κατ' αὐτούς.) Ἡ ἀμάθεια αὐτῶν δηλ. — 14. Τοῦτο.) Τὸ τὴν Ἑλλήνων διδάσκεσθαι παίδευσιν.

§ 16. 2. Μεγάλῳ πατρί.) Τῷ πάππῳ. — 3. Διαπλάττεται πλάσιν.) Τὴν διὰ τοῦ θείου δηλ. βαπτίσματος. — 4. Ὁ θεῖος Δαβίδ.) Ψαλμ. ριθ'. 12.



ΕΓΧ. ΑΤΗΣ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

ξανομένους τε καὶ συνακιόντας[5] ἀλλήλοις, ὁ θαυμάσιος ἐκπαιδεύεται· οὐ Θετταλικόν τι καὶ ὄρειον ἄντρον αὐχῶν, ὡς ἀρετῆς ἐργαστήριον, οὐδέ τινα Κένταυρον[6] ἀλαζόνα τῶν κατ' αὐτὸν ἡρώων διδάσκαλον, οὐδὲ πτῶκας βάλλειν,[7] ἢ κατατρέχειν νεβρῶν, ἢ θηρεύειν ἐλάφους ὑπ' αὐτοῦ διδασκόμενος, ἢ τὰ πολεμικὰ κράτιστος εἶναι, ἢ πωλοδαμνεῖν ἄριστα, τῷ αὐτῷ πώλῳ καὶ διδασκάλῳ χρώμενος· ἢ μυελοῖς ἐλάφων τε καὶ λεόντων, τοῖς μυθικοῖς ἐκτρεφόμενος, ἀλλὰ τὴν ἐγκύκλιον παίδευσιν παιδευόμενος, καὶ θεοσέβειαν ἐξασκούμενος· καὶ συνελόντι φάναι, πρὸς τὴν μέλλουσαν τελειότητα διὰ τῶν ἐξ ἀρχῆς μαθημάτων ἀγόμενος. Οἱ μὲν γὰρ ἢ βίον μόνον, ἢ λόγον κατωρθωκότες, τῷ ἑτέρῳ δὲ λείποντες, οὐδὲν τῶν ἑτεροφθάλμων ἐμοὶ δοκεῖν διαφέρουσι· οἷς μεγάλη μὲν ἡ ζημία, μεῖζον δὲ αἶσχος ὁρῶσι καὶ ὁρωμένοις. Οἷς δὲ κατ' ἀμφότερα εὐδοκιμεῖν ὑπάρχει, καὶ εἶναι περιδεξίοις, τούτοις καὶ τὸ εἶναι τελείοις,[8] καὶ βιωτεύειν μετὰ τῆς ἐκεῖθεν μακαριότητος. Ὅπερ[9] οὖν ἐκείνῳ συμβέβηκεν, εὖ ποιοῦν, οἴκοθεν ἔχοντι τῆς ἀρετῆς τὸ παράδειγμα, πρὸς ὃ βλέπων εὐθὺς ἄριστος ἦν. Ὥσπερ τοὺς πώλους καὶ τοὺς μόσχους ὁρῶμεν, ὁμοῦ τῇ γενέσει ταῖς μητράσιν ἑαυτῶν παρασκαίροντας· οὕτω καὶ αὐτὸς[10] τῷ πατρὶ παραθέων ἐγγύθεν ἐν πωλικῷ τῷ φρυάγματι, καὶ τῶν ἄκρων τῆς ἀρετῆς κινημάτων, οὐ παρὰ πολὺ λειπόμενος. Εἰ βούλει δέ,[11] κἂν τῇ σκιαγραφίᾳ τὸ μέλλον τῆς ἀρετῆς κάλλος ὑποσημαίνων, καὶ πρὸ τοῦ καιροῦ τῆς ἀκριβείας, τὰ τῆς ἀκριβείας προχαραττόμενος.

§ 17. Ἐπεὶ δὲ ἱκανῶς εἶχε τῆς ἐνταῦθα παιδεύσεως, ἔδει δ' αὐτὸν μηδὲν τῶν καλῶν διαφυγεῖν, μηδὲ τῷ φιλοπόνῳ τῆς μελίσσης ἀπολειφθῆναι, συλλεγούσης ἐκ παντὸς ἄνθους τὰ χρησιμώτατα, ἐπὶ τὴν Καισαρέων πόλιν ἐπείγεται, τῶν τῇδε μεθέξων παιδευτηρίων. Ταύτην δὲ λέγω τὴν περιφανῆ τε καὶ ἡμετέραν·[2] ἐπεὶ καὶ τῶν ἐμῶν λόγων αὕτη καθηγεμὼν καὶ διδάσκαλος, τὴν οὐχ ἧττον λόγων μητρόπολιν, ἢ τῶν πόλεων, ὧν ὑπέρκειται, καὶ καθ' ὧν ἔχει τὴν δυναστείαν. Ἣν εἴ τις τοῦ ἐν λόγοις κράτους ἀπο-

12. — 5. Συναυξανομένους τε καὶ συνανιόντας.) Τὸν βίον δηλ. καὶ τὸν λόγον. — 6. Κένταυρον.) Τὴν Χείρωνα λέγει· οὗτος γὰρ εἰς Μελέαν ᾤκει ἐν ἄντρῳ, ὅπερ ἐν Θετταλίᾳ ἦν ἐπὶ τοῦ ὄρους Πηλίου· ἐδίδαξε δὲ τὸν μὲν Ἀσκληπιὸν τὴν ἰατρικήν· τὸν δὲ Ἡρακλέα τὴν ἀστρονομίαν· ἐγένετο δὲ καὶ παιδαγωγὸς Ἀχιλλέως, διδάσκων αὐτὸν τοξεύειν, καὶ βάλλειν λαγωοὺς καὶ νεβρούς, τρέφων αὐτὸν μυελοῖς λεόντων, ἄρκτων, τίγρεων, καὶ πολλῶν ἄλλων θηρίων. Ἀπολλόδ. Γ'. ιβ'. Ὁμηρ. Ὀδυσ. Λ. στίχ. 831. — 7. Πτῶκας βάλλειν.) Ἡ ἔκφρασις ἀπὸ τοῦ Θεοκρίτου Εἰδύλλ. Α'. 110. — 8. Καὶ το εἶναι τελείοις.) Ἀπὸ κοινοῦ τὸ Ὑπάρχει· τὸ δὲ ἐκ τρίτου ὁμοιοπτώτως τῷ ἐκ πρώτου τοῦ εἶναι ἐξηνέχθη. — 9. Ὅπερ.) Τὸ εὐδοκιμῆσαι πράξει καὶ θεωρίᾳ. — 10. Οὕτω καὶ αὐτός.) Ἀπὸ κοινοῦ τὸ Ἄριστος ἦν. — 11. Εἰ βούλει δέ.) Ἐννοεῖται τὸ Ἦν· ἦν δηλονότι ὑποσημαίνων.

§ 17. 2. Τὴν περιφανῆ τε καὶ ἡμετέραν.)

στερήσειεν, ἀφῃρηκὼς ἔσται αὐτὸ τὸ κάλλιστόν τε καὶ ἰδικώτατον. Ἄλλαι μὲν γὰρ τῶν πόλεων ἄλλοις ἀγάλλονται καλλωπίσμασιν ἢ παλαιοῖς, ἢ νέοις, ὅπως ἄν, οἶμαι, τῶν διηγημάτων ἔχωσιν ἢ τῶν ὁρωμένων· τῇ δὲ[3] λόγοι τὸ γνώρισμα, ὥσπερ ἐν τοῖς ὅπλοις, ἢ τοῖς δράμασι τὰ ἐπίσημα.[4] Τὰ δ' ἑξῆς[5] αὐτοὶ διηγήσθωσαν οἱ καὶ παιδεύσαντες τὸν ἄνδρα παρ' ἑαυτοῖς, καὶ τῆς παιδεύσεως ἀπολαύσαντες· Ὅσος μὲν ἦν διδασκάλοις, ὅσος δὲ ἥλιξι· τοῖς μὲν παρεκτεινόμενος, τοὺς δὲ ὑπεραίρων κατὰ πᾶν εἶδος παιδεύσεως. Ὅσον κλέος ἐντὸς ὀλίγου χρόνου παρὰ πᾶσιν ἠνέγκατο, καὶ τοῖς ἐκ τοῦ δήμου καὶ τοῖς πρώτοις τῆς πόλεως· μείζω μὲν τῆς ἡλικίας τὴν παίδευσιν, μείζω δὲ τῆς παιδεύσεως τὴν τοῦ ἤθους πῆξιν ἐπιδεικνύμενος. Ῥήτωρ[6] ἐν ῥήτορσι, καὶ πρὸ τῶν σοφιστικῶν θρόνων· φιλόσοφος ἐν φιλοσόφοις, καὶ πρὸ τῶν ἐν φιλοσοφίᾳ δογμάτων· Τὸ μέγιστον,[7] ἱερεὺς Χριστιανοῖς, καὶ πρὸ τῆς ἱερωσύνης· τοσοῦτον ἦν αὐτῷ τὸ παρὰ πάντων συγκεχωρηκὸς[8] ἐν ἅπασι! Τῷ δὲ[9] λόγοι μὲν τὸ πάρεργον ἦσαν, τοσοῦτον ἐξ αὐτῶν δρεπομένῳ, ὅσον εἰς τὴν καθ' ἡμᾶς φιλοσοφίαν συνεργοὺς[10] ἔχειν. Ἐπειδὴ δεῖ καὶ τῆς ἐν τούτοις δυνάμεως πρὸς τὴν τῶν νοουμένων δήλωσιν· κίνημα γὰρ ναρκώντων ἐστὶ νοῦς ἀνεκλάλητος.[11] Φιλοσοφία[12] δὲ ἡ σπουδή, καὶ τὸ ῥαγῆναι κόσμου, καὶ μετὰ Θεοῦ γενέσθαι τοῖς κάτω τὰ ἄνω πραγματευόμενον,[13] καὶ τοῖς ἀστάτοις καὶ ῥέουσι τὰ ἑστῶτα καὶ μένοντα κατακτώμενον.

§ 18. Ἐντεῦθεν ἐπὶ τὸ Βυζάντιον τὴν προκαθεζομένην τῆς ἑῴας πόλιν· (καὶ γὰρ εὐδοκίμει[2] σοφιστῶν τε καὶ φιλοσόφων τοῖς τελεωτάτοις, οὗ ἐν βραχεῖ χρόνῳ τὰ κράτιστα συνελέξατο, τάχει τε καὶ μεγέθει φύσεως.) Ἐντεῦθεν ἐπὶ τὸ τῶν λόγων ἔδαφος τὰς Ἀθήνας[3] ὑπὸ τοῦ Θεοῦ πέμπεται, καὶ τῆς καλῆς περὶ τὴν

---

Πόλιν δηλ. — 3. Τῇ δέ.) Πόλει τῶν Καισαρέων. — 4. Τὰ ἐπίσημα.) Τὰ χαρακτηριστικὰ δηλαδὴ σημεῖα, δι' ὧν γνωρίζονται· οἷον· τουτὶ μὲν τὸ δρᾶμα καλεῖται, Αἴας μαστιγοφόρος· ὅτι ὑποτίθησι τὸν Αἴαντα μαινόμενον, καὶ δεσμεύσαντα κριόν, καὶ μαστιγοῦντα αὐτόν, Ὀδυσσέα ὑποτιθέμενον· τουτὶ δέ, Ἰφιγένεια ἐν Αὐλίδι· ὅτι ὑποτίθησι τὴν Ἰφιγένειαν θυομένην μονονοὺκ ἐν Αὐλίδι· καὶ τῶν ἄλλων ὁμοίως δραμάτων τὰ ὀνόματα ἐκ τῶν ἐν αὐτοῖς τοῦ ἐπισήμου παρονομάζεται· ἐν δὲ ταῖς ἀσπίσιν, Ἀθηναίοις ἐπίσημον ἦν ἡ γλαύξ· καὶ ἐπὶ τῶν λοιπῶν ὁμοίως. — 5. Τὰ δ' ἑξῆς.) Ὅσα δηλ. ἐν ταύτῃ ἠκολούθησαν τῷ μεγ. Βασιλ. — 6. Ῥήτωρ.) Ἦν δηλ. — 7. Τὸ μέγιστον.) Ἀσυνδέτως, πρὸς πλείονα ἔμφασιν. — 8. Τοσοῦτον ἦν . . . τὸ συγκεχωρηκός.) Οὕτω δηλ. συνεχώρησαν ἅπαντες αὐτῷ, παραχωρήσαντες τῶν πρωτείων. — 9. Τῷ δέ.) Μεγ. Βασιλείῳ. — 10. Συνεργούς.) Τοὺς λόγους. — 11. Νοῦς ἀνεκλάλητος.) Νόημα δηλ. μὴ ἐκφραζόμενον διὰ τοῦ προφορικοῦ λόγου. — 12. Φιλοσοφία.) Ἦν τὸ καθ' αὐτὸν ἔργον τοῦ μεγ. Βασιλ. φιλοσοφίαν δ' ἐνταῦθα ἐννοεῖ τὴν εὐσέβειαν, φιλίαν τῆς ὄντως σοφίας τοῦ Θεοῦ οὖσαν. — 13. Πραγματευόμενον.) Ἡ αἰτιατικὴ διὰ τὸ ἀπαρέμφατον· ὁ δὲ νοῦς· Ἀνταλλαττόμενος τοῖς ἐπιγείοις τὰ οὐράνια.

§ 18. 2 Εὐδοκίμει.) Ἡ πόλις τὸ Βυζάντιον. — 3. Τὰς Ἀθήνας.) Ἐπεξηγηματικῶς τοῦ, τὸ τῶν λόγων ἔδαφος.

παίδευσιν ἀπληστίας. Ἀθήνας,[4] τὰς χρυσᾶς ὄντως ἐμοί, καὶ τῶν καλῶν προξένους, εἴπερ τινι.[5] Ἐκεῖναι γάρ μοι τὸν ἄνδρα τοῦτον ἐγνώρισαν τελεώτερον, οὐδὲ πρὶν ἀγνοούμενον, καὶ λόγους ἐπιζητῶν εὐδαιμονίαν ἐκομισάμην. Καὶ τρόπον ἕτερον ταὐτὸ πέπονθα τῷ Σαούλ. Ὃς τὰς ὄνους[6] τοῦ πατρὸς ἐπιζητῶν, βασιλείαν εὕρατο, μεῖζον τοῦ ἔργου τὸ πάρεργον ἐμπορευσάμενος.

§ 19. Τὸ μὲν δὴ[2] μέχρι τούτων εὔδρομος ἡμῖν ὁ λόγος, καὶ διὰ λείας[3] τῆς ὁδοῦ φέρων, καὶ ἄγαν εὐπόρου, καὶ βασιλικῆς, ὄντως, τῶν τοῦ ἀνδρὸς ἐγκωμίων. Τὸ δὲ ἐντεῦθεν, οὐκ οἶδ' ὅ,τι τῷ λόγῳ χρήσωμαι, καὶ ποῖ τράπωμαι, ἔχει γάρ τι καὶ πρόσαντες ἡμῖν ὁ λόγος. Ποθῶ μὲν γὰρ ἐνταῦθα τοῦ λόγου γενόμενος, καὶ τοῦ καιροῦ τούτου λαβόμενος, καὶ τῶν κατ' ἐμαυτόν τι προσθεῖναι τοῖς εἰρημένοις, καὶ μικρόν τι προσδιατρῖψαι τῷ διηγήματι. Ὅθεν τε καὶ ὅπως ἡμῖν κἀκ τίνος τῆς ἀρχῆς συνέστη τὸ τῆς φιλίας,[4] εἴτ' οὖν συμπνοίας καὶ συμφυΐας, εἰ χρὴ προσειπεῖν οἰκειότερον. Φιλεῖ γὰρ οὔτε ὄψις ῥᾳδίως ἀναχωρεῖν τῶν τερπνῶν θεαμάτων, κἂν ἀφέλκῃ τις βίᾳ, πρὸς αὐτὰ πάλιν φέρεσθαι, οὔτε λόγος[5] τῶν ἡδίστων διηγημάτων. Δέδοικα δὲ τὸ φορτικὸν τῆς ἐγχειρήσεως· πειράσομαι μὲν οὖν μετρίως τοῦτο ποιεῖν· Ἂν δ' ἄρα τι καὶ βιαζώμεθα ὑπὸ τοῦ πόθου, συγγνώμη τῷ πάθει, πάντων παθῶν ὄντι δικαιοτάτῳ, καὶ ὃ μὴ παθεῖν[6] ἡ ζημία τοῖς γε νοῦν ἔχουσιν.

§ 20. Εἶχον ἡμᾶς αἱ Ἀθῆναι, καθάπερ τι ῥεῦμα ποτάμιον, ἀπὸ μιᾶς σχισθέντας πηγῆς τῆς πατρίδος, εἰς διάφορον ὑπερωρίαν κατ' ἔρωτα τῆς παιδεύσεως, καὶ πάλιν εἰς τὸ αὐτὸ συνελθόντας, ὥσπερ ἀπὸ συνθήματος, οὕτω Θεοῦ κινήσαντος. Εἶχον δὲ μικρὸν ἐμὲ πρότερον, τὸν δ' εὐθὺς μετ' ἐμέ, μετὰ πολλῆς προσδεχθέντα καὶ περιφανοῦς τῆς ἐλπίδος. Καὶ γὰρ ἐν πολλῶν γλώσσαις ἔκειτο πρὶν ἐπιστῆ, καὶ μέγα ἑκάστοις ἦν προκαταλαβεῖν τὸ σπουδαζόμενον. Οὐδὲν δὲ[2] οἷον καὶ ἥδυσμά τι προσθεῖναι τῷ λόγῳ μικρὸν

—4. Ἀθήνας.) Ἐπανάληψις κατ' ἔμφασιν. —5. Εἴπερ τινί.) Πλέον ἢ ἄλλῳ τινι. — 6. Ὃς τὰς ὄνους.) Κὶς γὰρ ἐκ φυλῆς Βενιαμὶν ἔπεμψε τὸν υἱὸν αὐτοῦ Σαοὺλ εὑρεῖν τὰς ὄνους ἀπολωλείας· ὁ δὲ ἐλθὼν εἰς τὴν πόλιν, ἵν' ἐρωτήσῃ περὶ αὐτῶν Σαμουὴλ τὸν προφήτην, χρίεται ὑπ' αὐτοῦ βασιλεὺς Ἰσραὴλ κατὰ θεῖον πρόσταγμα· Βασιλ. Α'. Θ'. 3. ...2.

§ 19. 2. Τὸ μὲν δή.) Κατὰ παραλκήν, ἀντὶ Μέχρι μὲν δὴ τούτων· ἔστι δὲ κατ' ἔλλειψιν· οἷον· Κατὰ τὸ μέχρι τούτων διάστημα τοῦ χρόνου. — 3. Καὶ διὰ λείας.) Καὶ φέρων με διὰ λείας, καὶ ἄγαν εὐπόρου καὶ ὄντως βασιλικῆς ὁδοῦ τῶν ἐγκωμίων τοῦ ἀνδρός. — 4. Τὸ τῆς φιλίας.) Περιφραστικῶς ἀντὶ ἡ φιλία. — 5. Οὔτε λόγος.) Φιλεῖ ῥᾳδίως ἀναχωρεῖν. — 6. Καὶ ὃ μὴ παθεῖν.) Καὶ ἔστι ζημία τοῖς εὐφρονοῦσι τὸ μὴ παθεῖν τοῦτο· τὸ δὲ τοι ἄρθρον τοιόνδε τι ἐμφαίνει· καὶ ἡ ζημία ἐστὶν τοῖς φρονίμοις τοῦτο· τὸ μὴ παθεῖν καὶ τλ.

§ 20. 2. Οὐδὲν δέ.) Οὐ μέγα τι δηλ. ἐστὶ τὸ προσθεῖναι τῷ λόγῳ μικρὸν ἀφήγημα, οἷον ἥδυσμά τι· ὁ δὲ τοι Καὶ παρέλκει· δηλοῖ δὲ προσθήκην τινὰ προ-

Ε.Σ.Τ.Δ της Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ἀφήγημα, τοῖς μὲν εἰδόσιν ὑπόμνησιν,[3] τοῖς δὲ ἀγνοοῦσι διδασκαλίαν.

§ 21. Σοφιστομανοῦσιν[2] Ἀθήνησι τῶν νέων οἱ πλεῖστοι καὶ ἀφρονέστεροι, οὐ τῶν ἀγεννῶν μόνον καὶ τῶν ἀνωνύμων, ἀλλ' ἤδη καὶ τῶν εὖ γεγονότων καὶ περιφανεστέρων, ἅτε πλῆθος σύμμικτον ὄντες, καὶ νέοι, καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς. Ὅπερ οὖν πάσχοντάς ἐστι ὁρᾷν περὶ τὰς ἀντιθέτους ἱπποδρομίας τοὺς φιλίππους τε καὶ φιλοθεάμονας, πηδῶσι,[3] βοῶσιν, οὐρανῷ πέμπουσι κόνιν, ἡνιοχοῦσι καθήμενοι, παίουσι τὸν ἀέρα, τοὺς ἵππους δὴ τοῖς δακτύλοις, ὡς μάστιξι ζευγνύουσι, μεταζευγνύουσιν· οὐδενὸς ὄντες κύριοι, ἀντιδιδόασιν[4] ἀλλήλοις ῥᾳδίως,[5] ἡνιόχους, ἵππους, ἱπποστασίας, στρατηγούς· καὶ ταῦτα[6] τίνες; οἱ πένητες πολλάκις καὶ ἄποροι, καὶ μηδ' ἂν εἰς μίαν ἡμέραν τροφῆς εὐπορήσαντες. Τοῦτο καὶ αὐτοὶ πάσχουσιν ἀτεχνῶς περὶ τοὺς ἑαυτῶν διδασκάλους καὶ ἀντιτέχνους· ὅπως πλείους τε ὦσιν αὐτοί, κἀκείνους εὐπορωτέρους ποιῶσι δι' ἑαυτῶν σπουδὴν ἔχοντες.[7] Καὶ τὸ πρᾶγμα[8] ἐστιν ἐπιεικῶς ἄτοπον καὶ δαιμόνιον· προκαταλαμβάνονται πόλεις, ὁδοί, λιμένες, ὀρῶν ἄκρα, πεδία, ἐσχατιαί, οὐδὲν ὅ,τι μὴ τῆς Ἀττικῆς μέρος,[9] ἢ τῆς λοιπῆς Ἑλλάδος, αὐτῶν τῶν οἰκητόρων οἱ πλεῖστοι·[10] καὶ γὰρ τούτους μεμερισμένους ταῖς σπουδαῖς ἔχουσιν.

§ 22. Ἐπεὶ δ' ἂν οὖν τις ἐπιστῇ τῶν νέων, καὶ ἐν χερσὶ γένηται τῶν ἐχόντων·[2] γίνεται δὲ[3] ἢ βιασθεὶς, ἢ ἑκών· νόμος οὗτος ἐστὶν αὐτοῖς Ἀττικὸς, καὶ παιδιὰ σπουδῇ σύμμικτος. Πρῶτον μὲν ξεναγεῖται παρά τινι τῶν προειληφότων, ἢ φίλων, ἢ συγγενῶν, ἢ τῶν ἐκ τῆς αὐτῆς πατρίδος, ἢ τῶν ὅσοι περιττοὶ τὰ σοφιστικὰ, καὶ προσαγωγοὶ[4] τῶν λημμάτων, κἀντεῦθεν μάλιστα διὰ τιμῆς[5] ἐκείνοις· ἐπεὶ καὶ τοῦτο μισθός ἐστιν αὐτοῖς τῶν σπου-

---

στιθέμενος καὶ ἔμφασιν. — 3. Ὑπόμνησιν.) Ὂν τὸ ἀφήγημα τοῦτο.

§ 21. 2. Σοφιστομανοῦσιν.) Ἐκ περισσοῦ μαίνονται οἱ νέοι περὶ τοὺς οἰκείους σοφιστὰς καὶ διδασκάλους, ἵν' ὅτι πλείστους ἔχωσι μαθητάς. — 3. Πηδῶσιν.) Οἱ φίλιπποι δηλ. καὶ φιλοθεάμονες· διὰ γοργότητα ἀπὸ τοῦ πλαγιασμοῦ ἀνώρθωσε τὸ σχῆμα τοῦ λόγου ἐλλειπτικῶς. — 4. Ἀντιδιδόασιν.) Φασὶ πρὸς τοὺς ἀντιθέτους, ἀντίδοτε ἡμῖν τοὺς ἵππους, οὓς ἔχετε, καὶ τοὺς ἡνιόχους καὶ τὸν δήμαρχον, καὶ λάβετε τοὺς ἡμετέρους· καὶ ὄψεσθε πόσον ὑμᾶς νικήσομεν. — 5. Ῥᾳδίως.) Τῇ γὰρ φαντασίᾳ πᾶν δύναταί τις ποιεῖν ῥᾳδίως. — 6. Καὶ ταῦτα.) Ποιοῦσι τίνες; — 7. Σπουδὴν ἔχοντες.) Ἐπιμελούμενοι. — 8. Καὶ τὸ πρᾶγμα.) Τὸ παρὰ τῶν μαθητῶν γενόμενον. — 9. Οὐδὲν ὅ,τι μὴ τῆς Ἀττικ. μέρος.) Ἤτοι πᾶν μέρος τῆς Ἀττικῆς προκαταλαμβάνεται. Οὐδὲν γὰρ ἐστὶ μέρος τῆς Ἀττικῆς, ὅπερ οὐ προκαταλαμβάνεται ὑπὸ τῶν ἐν Ἀθήναις νέων, ἵνα τοὺς ἐρχομένους πρὸς τὸ μανθάνειν πρὸς τοὺς οἰκείους ἄγωσι διδασκάλους. — 10. Οἱ πλεῖστοι.) Ἀπὸ κοινοῦ τὸ Προκαταλαμβάνονται. Καὶ τοὺς οἰκήτορας γὰρ τῆς Ἀττικῆς μεμερισμένους ἔχουσι ταῖς ἑαυτῶν προκαταλήψεσιν οἱ μαθηταί.

§ 22. 2. Τῶν ἐχόντων.) Τοὺς τόπους τούτους καὶ τὰ. — 3. Γίνεται δέ.) Ἐν χερσὶ δηλ. εἴτ' οὖν λαμβάνεται. — 4. Καὶ προσαγωγοί.) Καὶ πρόξενοι δηλ. λημμάτων καὶ κέρδους τοῖς ἑαυτῶν διδασκάλοις γίνονται. — 5. Διὰ τιμῆς.)